ISTITUTO DI STUDI BIZANTINI E NEOELLENICI
UNIVERSITÀ DI ROMA
CON IL CONCORSO DEL CONSIGLIO NAZIONALE DELLE RICERCHE

ANALECTA HYMNICA GRAECA

E CODICIBUS ERUTA ITALIAE INFERIORIS

IOSEPH SCHIRÒ
CONSILIO ET DUCTU EDITA

VI

CANONES FEBRUARII

EUTYCHIUS TOMADAKIS
COLLEGIT ET INSTRUXIT

Tipografia S. Pio X - Via degli Etruschi, 7-9 — 00185 ROMA

MANU SCRIPTA E QUIBUS CARMINA SUMPTA SUNT

Bb *Barber. gr. 543,* s. XIV-XV, chartac., mm. 310×210, ff. 262. Codex initio et fine mutilus: Menaeum decembris, januarii et februarii. — Cfr. S. DE RICCI, *Liste sommaire des manuscrits grecs de la Bibliotheca Barberina,* in « Revue des Bibliothèques » 17 (1907), p. 121; *BMGV* 160-161.

Bd *Barber. gr. 460,* s. XII, membran., mm. 235×180, ff. 140. Codex utrimque mutilus: Menaeum januarii, februarii, martii et aprilis. — Cfr. S. DE RICCI, *op. cit.,* p. 115; *BMGV* 153.

Bf *Barber. gr. 409,* s. XV, chartac., mm. 130×220, ff. 280: Menaeum februarii. — Cfr. S. DE RICCI, *op. cit.,* p. 112; M. PETTA, *Inni inediti di Iob monaco,* in BBG n.s. XIX (1965), 86; *BMGV* 149.

Ci *Crypt. Δ.α. XVI,* s. XI, membran., mm. 240×180, ff. 144: Menaeum februarii. — Cfr. A. ROCCHI, *Codices Cryptenses seu Abbatiae Cryptae Ferratae,* Tusculani 1883, pp. 317-318.

Cn *Crypt. Δ.α. XXIII,* s. XI, membran., mm. 240×180, ff. 230: Menaeum junii-augusti. — Cfr. A. ROCCHI, *op. cit.,* pp. 323-325.

Cv *Crypt. Δ.α. XXVII,* s. XII, membran., mm. 230×170, ff. 97: Fragmentum Anthologii canonum novembris-augusti. — Cfr. A. ROCCHI, *op. cit.,* p. 328.

Cz *Crypt. Δ.α. VI,* s. XII, membran., mm. 230×180, ff. 177: Menaeum februarii. — Cfr. A. ROCCHI, *op. cit.,* pp. 300-301.

Da *Crypt. Δ.α. XXI,* s. XII, membran., mm. 270×200, ff. 88: Menaeum februarii. — Cfr. A. ROCCHI, *op. cit.,* p. 322.

Dd *Crypt. Δ.δ. I*, s. XV, membran., mm. 200×140, ff. 245: Anthologium canonum septembris-augusti. — Cfr. A. Rocchi, *op. cit.*, pp. 387-389.

De *Crypt. Δ.δ. II*, s. XI vel XII ineuntis, membran., mm. 190×150, ff. 113. Codex initio et fine mutilus: Anthologium canonum decembris-junii. — Cfr. A. Rocchi, *op. cit.*, pp. 389-390.

Dg *Crypt. Δ.α. LXIII*, a. 1734, chartac., mm. 340×230, ff. 133: Menaeum junii, quod A. Rocchi, *op. cit.*, bis descripsit; primum, pp. 306-308, ut Δ.α. X, iterum, p. 348 ut Δ.α. LXIII.

Dq *Crypt. Δ.β. VII*, s. XII, membran., mm. 270×320, ff. 224: Triodium. — Cfr. A. Rocchi, *op. cit.*, p. 357.

G *Athen. 555*, s. XVI, chartac., mm. 300×210, ff. 187: Menaeum februarii-martii. — Cfr. I. Sakkelion, *Κατάλογος τῶν χειρογράφων τῆς Ἐθνικῆς Βιβλιοθήκης τῆς Ἑλλάδος*, Ἐν Ἀθήναις 1892, p. 109.

Ga *Athen. 592*, a. 1571, chartac., mm. 210×150, ff. 325: Menaeum februarii. — Cfr. I. Sakkelion, *op. cit.*, p. 113.

Gd *Athen. 862 [108]*, s. XVI, chartac., mm. 300×200. Codex utrimque mutilus: Menaeum novembris-martii. — Cfr. I. Sakkelion, *op. cit.*, p. 155.

Lm *Reg. gr. 54*, s. X, membran., mm. 280×200, ff. 166. Codex initio et fine mutilus: Menaeum decembris, januarii et februarii et Octoëchus. — Cfr. H. Stevenson Senior, *Codices manuscripti Graeci Reginae Svecorum et Pii pp. II*, Romae 1888, p. 46; *BMGV* 305.

Ma *Mess. gr. 139* (πβ'), s. XII, membran., mm. 255×195, ff. 245: Anthologium totius anni, mutilum. — Cfr. A. Mancini, *Codices Graeci monasterii Messanensis S. Salvatoris*, Messanae 1907, p. 200.

Mf *Mess. gr. 136* (ϱκδ'), s. XIII, membran., mm. 230×250, ff. 353, initio mutilus: Anthologium canonum januarii-augusti. — Cfr. A. Mancini, *op. cit.*, p. 198.

Mh *Mess. gr. 121* (ϱμξ'), s. XII, membran., mm. 230×180, ff. 217: Menaeum martii, aprilis et mai et fragmentum Paracleticae. — Cfr. A. Mancini, *op. cit.*, p. 188.

Pk *Paris. gr. 255* (*Reg. 2472*), s. XV, chartac., ff. 296: Menaeum januarii, februarii et martii et narratio pro festo diei XXXI januarii. Cfr. H. Omont, *Inventaire sommaire des manuscrits grecs de la Bibliothèque Nationale* (*Première partie. Ancien fonds grec*), Paris 1886, p. 28.

Po *Paris. gr. 1616* (*Colbert 4655*), s. XVI, chartac., ff. 185: Menaeum februarii. — Cfr. H. Omont, *op. cit.*, II (Paris 1888), p. 107.

Pp *Paris. gr. 1562* (*Colbert 4583*), s. XIV, membran., ff. 145: Menaeum februarii. — Cfr. H. Omont, *op. cit.*, II (Paris 1888), p. 97.

Πj *Patm. 793*, s. XIII, membran., ff. 176: Menaeum februarii. — Cfr. D. Kallimachos, *Πατμιακῆς Βιβλιοθήκης Συμπλήρωμα*, in *EPh* 13 (1914), p. 266-267.

Πl *Patm. 857*, s. XVI, chartac., ff. 200: Menaeum februarii. — Cfr. D. Kallimachos, *art. cit.*, in *EPh* 17 (1918), p. 123.

Q *Paris. gr. 13* (*Colbert 121*) *G*, s. XIII, membran., mm. 390×290: Psalmi, Paracletica, Menaeum septembris-augusti cuius partim desunt maius et junius, officia in aquae benedictionem, Triodium, epistulae Pauli. — Cfr. H. Omont, *op. cit.*, I (Paris 1886), p. 3.

Rb *Paris. gr. 1567* (*Colbert 3064*), s. XIV, membran., mm. 298×205, ff. 75: Menaeum junii. — Cfr. H. Omont, *op. cit.*, II (Paris 1888), p. 97.

Sa *Paris. Suppl. gr. 32*, s. XIII, membran., mm. 300×210, ff. 212; scriptura hydruntina patet: Menaeum septembris-februarii-initio et fine mutilum. — Cfr. H. Omont, *op. cit.*, III (1888), p. 207; M.-L. Concasty, *Manuscrits grecs originaires de l'Italie Méridionale conservés à Paris*, in «Atti dell'VIII Congresso Internazionale di Studi Bizantini», Palermo 1951, tom. I, Roma (1953), p. 29.

Σ *Sinait. gr. 597*, s. XI-XII, membran., mm. [illegible]×170. Codex utrimque mutilus: Menaeum januarii februarii. — Cfr. V. Gardthausen, *Catalogus codicum Graecorum Sinaiticorum*, Oxonii 1886, p. 141.

Σι *Sinait. gr. 638*, s. XIII, membran., mm. 235×180, ff. 27. Codex utrimque mutilus: Anthologium canonum septembris-februarii. — Cfr. V. GARDTHAUSEN, *op. cit.*, p. 147.

Σλ *Sinait. gr. 602*, s. XI, membran., mm. 280×210, ff. 172. Codex acephalus: Menaeum februarii. — Cfr. V. GARDTHAUSEN, *op. cit.*, p. 142.

Vb *Vat. gr. 2069* (*Basil. 108*), s. XVII, chartac., mm. 290×200: Calendarium liturgicum. Index sanctorum Calabriae italica lingua. Menaeum septembris-augusti. — Cfr. *Inventarium manu scriptum codicum Basilianorum a* J. C. SCARFÒ *redactum* (Colloc. Sala Cons. Mss. n. 44); *BMGV* 680.

Vm *Vat. gr. 2008* (*Basil. 47*), s. XI, membran., mm. 246×208, utrimque mutilus: Menaeum januarii-aprilis, sticherarium et fragmentum kontakarii. — Cfr. E. FOLLIERI-J. DUJČEV, *Un'acolutia inedita per i martiri di Bulgaria dell'anno 813*, in « Byzantion » 33 (1963), p. 71, nota 1; *BMGV* 670.

Vq *Vat. gr. 1547* (*olim 1551*), s. XII, membran., mm. 165×120, ff. 183. Codex rescriptus totus: Anthologium sive officiorum delectus in potiores anni festivitates. — Cfr. C. GIANNELLI, *Codices Vaticani Graeci* (*codices 1485-1683*), In Bybliotheca Vaticana 1950, pp. 123-126; *BMGV* 606.

Vr *Vat. gr. 1515* (*olim 1539*), ann. 1382, chartac., mm. 285×223, ff. 290: Menaeum januarii-februarii. — Cfr. C. GIANNELLI, *op. cit.*, pp. 56-58; *BMGV* 602.

SIGLA

add.	= addidit, addiderunt
app. cr.	= apparatus criticus
cd.	= codex
cdd.	= codices
chartac.	= chartaceus
ed.	= edidit, editus, editum, edita, editio
f.	= folium
ff.	= folia
gr.	= graecus, graeci
heirm.	= heirmus, heirmi, heirmoi, heirmos
id.	= idem
inc.	= incipit, incipiens
l.c.	= locus citatus
membran.	= membranaceus
om.	= omittit, omittunt, omisit
op. cit.	= opera citata
p.	= pagina
pp.	= paginae
S.	= Sanctus, sancta
SS.	= Sancti, sanctae etc.
scil.	= scilicet

Byzantion = *Byzantion.* Revue internationale des Études Byzantines. Paris-Liège-Bruxelles-[Boston].

BZ = *Byzantinische Zeitschrift*, Leipzig-München.

DELEHAYE, *Les légendes* = *Les légendes grecques des saints militaires*, par HIPPOLYTE DELEHAYE, Paris 1909 [Appendice I: *Μαρτύριον τοῦ ἁγίου Θεοδώρου τοῦ Τήρωνος*, pp. 127-135; II: *Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος*, pp. 136-150; III: *Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Στρατηλάτου*, pp. 151-167; IV: *Μαρτύριον τοῦ ἐνδόξου μεγαλομάρτυρος τοῦ Χριστοῦ Θεοδώρου τοῦ Στρατηλάτου*, pp. 168-182; V: *Βίος πρὸ τοῦ μαρτυρίου καὶ ἡ ἐκ παιδὸς Ἀναγωγή τε καὶ αὔξησις καὶ θαύματα ἐξαίσια τοῦ ἁγίου καὶ πανενδόξου μεγαλομάρτυρος Θεοδώρου*, pp. 183-201.

DOUKAKIS = Κ. Δουκάκη, *Μέγας Συναξαριστὴς πάντων τῶν ἁγίων*, I-XII (jan.-dec.), Ἐν Ἀθήναις 1889-1896.

EA = *Ἐκκλησιαστικὴ Ἀλήθεια*. Σύγγραμμα περιοδικόν, Ἐν Κωνσταντινουπόλει.

EE = Σ. Εὐστρατιάδου, *Εἱρμολόγιον*, Chennevières-sur-Marne 1932 (Ἁγιορειτικὴ Βιβλιοθήκη 9).

EEBΣ = *Ἐπετηρὶς Ἑταιρείας Βυζαντινῶν Σπουδῶν*, Ἀθῆναι.

EO = *Échos d'Orient*, Constantinople-Paris/Bucarest.

EPh = *Ἐκκλησιαστικὸς Φάρος*, Ἐν Ἀλεξανδρείᾳ.

ETh = Σ. Εὐστρατιάδου, *Θεοτοκάριον*, I, Chennevières-sur-Marne 1931. (Ἁγιορειτικὴ Βιβλιοθήκη 7-8).

EUSTRATIADIS, *Ἁγιολόγιον* = Σ. Εὐστρατιάδου, *Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας*, Ἔκδοσις τῆς Ἀποστολ. Διακ. τῆς Ἐκκλ. τῆς Ἑλλάδος. [Ἀθῆναι 1961]

EUSTRATIADIS, *Ταμεῖον* = Σ. Εὐστρατιάδου, *Ταμεῖον Ἐκκλησιαστικῆς ποιήσεως*, in Ἐκκλησιαστικὸς Φάρος 35 (1936)-51 (1952).

GIB = G. GIOVANELLI, *Gli inni sacri di S. Bartolomeo Juniore*, Badia Greca di Grottaferrata 1955 (Innografi Italogreci 3).

Hann. = CHRISTIAN HANNICK, *Studien zu den griechischen und slavischen Liturgischen Handschriften der österreichischen Nationalbibliothek* [Byzantina Vindobonensia, VI], Wien 1972.

HC = *Ὡρολόγιον... κατὰ τὴν ἔκπαλαι τάξιν οὐ μὴν ἀλλὰ καὶ τυπικὸν τοῦ τῆς Κρυπτοφέρρης μοναστηρίου...*, Ἐν Ῥώμῃ 1677.

HR = *Ὡρολόγιον τὸ μέγα*, Ἐν Ῥώμῃ 1876.

LATYŠEV, *Menologii* = B. LATYŠEV, *Menologii anonymi Byzantini saeculi X quae supersunt. I: februarium et martium menses continens*, Petropoli 1911. II: *menses junium, julium et augustum continens*, Petropoli 1912.

Martyrologium Hieronymianum = H. DELEHAYE, *Commentarius perpetuus in Martyrologium Hieronymianum ad rec. H. Quentin*, in Acta Sanctorum novembris, II, pars 2ª, Bruxellis 1931.

Martyrologium Romanum = H. DELEHAYE et socii, *Martyrologium Romanum ad formam editionis typicae, scholiis historicis instructum* (Propylaeum ad Acta Sanctorum decembris), Bruxellis 1940.

MR = *Μηναῖα τοῦ ὅλου ἐνιαυτοῦ*, I-VI, Ἐν Ῥώμῃ 1888-1901.

MATEOS, *Le Typikon* = JUAN MATEOS, *Le Typikon de la Grande Église*, I-II (Orientalia Christiana Analecta, 165-166), 1962-1963.

MV = *Μηναῖα ... διορθωθέντα ὑπὸ* Βαρθολομαίου Κουτλουμουσιανοῦ *τοῦ Ἰμβρίου*, I-XII (sept.-aug.), Βενετία, Φοῖνιξ 1895.

NS = *Νέα Σιών*. Ἐκκλησιαστικὸν περιοδικὸν Σύγγραμμα, Ἐν Ἱεροσολύμοις.

PaR = *Παρακλητικὴ ἤτοι Ὀκτώηχος ἡ μεγάλη*, Ἐν Ῥώμῃ 1885.

PAS = J. B. PITRA, *Analecta Sacra spicilegio Solesmensi parata*, I-IV, Parisiis-Tusculi-Venetiis 1876-1884.

PG = J.-P. MIGNE, *Patrologiae cursus completus, Series Graeca*, Lutetiae Parisiorum 1857-1866.

PID = *Παρακλητικὸν σὺν Θεῷ ἁγίῳ τῆς ὑπεραγίας Θεοτόκου. Ποίημα τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ* ... [Romae, curante Ph. Vitali] 1738.

PKV = A. PAPADOPOULOS-KERAMEUS, *Varia Graeca Sacra*, Petersbourg 1909.

SMM = SIBERUS, L. U. G., *Ecclesiae Graecae Martyrologium Metricum ex Menaeis, cd. Chiffletiano Actisque Sanctorum*, Lipsiae 1727.

Synax. Eccl. CP. = H. DELEHAYE, *Synaxarium Ecclesiae Constantinopolitanae* (Propylaeum ad Acta Sanctorum novembris), Bruxellis 1902.

Synaxarium = id. id.

TOMADAKIS, *Ὑμνογραφία* = N. B. Τωμαδάκη, *Ἡ Βυζαντινὴ Ὑμνογραφία καὶ Ποίησις ἤτοι Εἰσαγωγὴ εἰς τὴν Βυζαντινὴν Φιλολογίαν*[3], II, (Ἀθῆναι) 1965.

TRM = N. B. Τωμαδάκη, *Ῥωμανοῦ τοῦ Μελῳδοῦ Ὕμνοι*, I-IV, Ἀθῆναι 1952-1959.

TR = *Τριῴδιον κατανυκτικὸν περιέχον ἅπασαν τὴν ἀνήκουσαν αὐτῷ ἀκολουθίαν τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς*, Ἐν Ῥώμῃ 1879.

[VAN HOOFF], *Acta s. Theodori* = [G. VAN HOOFF], *Acta Graeca s. Theodori Ducis martyris nunc primum edita*, in *Anal. Boll.* 2 (1883), pp. 359-367.

ANALECTA HYMNICA

2 FEBBRAIO

LA PRESENTAZIONE AL TEMPIO DI N. S. GESÙ CRISTO

La festa della Presentazione (ὑπάπαντή) (1), prima celebrata nella sola Chiesa Orientale (Gerusalemme IV sec. (2), Costantinopoli VI sec. (3)) fu più tardi acquisita dalla Chiesa Occidentale (4) come festa mariana.

A Costantinopoli la ricorrenza si festeggiava con grande solennità; alla cerimonia, celebrata dal patriarca nelle Blacherne (5), era

---

(1) *B.H.G.*³ 808, 1950-1974. — *B.H.G.*³ A. 1950 k. - 1973b. — M. Aubineau, *Deux homélies de Cyrille d'Alexandrie de hypapante* (*B.H.G.* 1958w et 1963)?, « Anal. Boll. » 90 (1972), 100.

(2) Χρυσοστόμου Κωνσταντινίδου, *Ἡ ἑορτὴ τῆς Ὑπαπαντῆς τοῦ Κυρίου*, Ἰσταμποὺλ (1945), 15. — É. de Moreau, *L'Orient et Rome dans la fête du 2 février*, in « Nouvelle revue théologique » 62 (1935), 5. — Baudot et Chaussin, *Vies des Saints et des bienheureux selon l'ordre du calendrier avec l'historique des fêtes* 2, Paris (1936), 34-41. — N. Nilles, *Kalendarium manuale utriusque Ecclesiae Orientalis et Occidentalis* I², Oeniponte (1896), 91-93.

(3) Come risulta dalle testimonianze degli storici bizantini (Γεώργιος Ἁμαρτωλός, *PG* 110, col. 777 A. — Θεοφάνης, De Boor, I, 222^{23-25}. — Κεδρηνός, Bonn, I, 641^{19-21}. — Λέων Γραμματικός, Bonn, 127^{1-2}. — Ἰωήλ, Bonn, 44^{15-21}) e di Nicephoro Callisto (*Storia Eccl.*, *PG* 147, col. 292A), l'imperatore Giustino I (518-527) introdusse a Bisanzio la celebrazione dell'Hypapante, mentre Giustiniano I (527-565) stabilì la data di tale festività, prima celebrata il 14 febbraio, nel 2 dello stesso mese: M. Γεδεών, *Βυζαντινὸν Ἑορτολόγιον*, 68. — Γ. Γ. Μπεκατώρου, « Θρησκευτικὴ καὶ Ἠθικὴ Ἐγκυκλοπαιδεία », 11, 951-953. — Ἀ. Ξυγγοπούλου, *Ὑπαπαντή*, *ΕΕΒΣ* 6 (1929), 328. — Agioritis, I (1868), 435, nota 2. — Doukakis, II (1890), 26, nota 1. — Eustratiadis, *Ἁγιολόγιον*, 477.

(4) Cfr. *Martyrologium Romanum*, 45-46.

(5) R. Janin, *La géographie ecclésiastique de l'Empire Byzantin*. Ière partie: *Le siège de Constantinople et le patriarcat oecuménique*. III. *Les églises et les monastères*², Paris (1969), 161-171.

IN HYPAPANTEM DOMINI

Crypt. Δ.α. XVI = Ci, ff. 12-17ᵛ
Vat. gr. 2008 = Vm, ff. 39ᵛ-41
Crypt. Δ.α. XXI = Da, ff. 8-11ᵛ
Sinait. gr. 638 = Σι, ff. 363ᵛ-367ᵛ

Mosc. Synod. Bibl. 181 = Amph., pp. 5-15 (1)

Ὁ κανών.
Ποίημα Ἀνδρέου

Ἦχος γ'.

ᾠδὴ α'. *Τῷ ῥυσαμένῳ τὸν Ἰσραὴλ ἐκ δουλείας*
καὶ Φαραὼ βυθίσαντι ἐν τῇ θαλάσσῃ
ᾄσωμεν τῷ σωτῆρι Χριστῷ,
ὅτι δεδόξασται εἰς τοὺς αἰῶνας.

* Τὸν νηπιάσαντα καὶ ὑπὸ νόμον ἀχθέντα
ὁ Συμεὼν δεξάμενος ἐν ταῖς ἀγκάλαις,
ἀνεβόα· « νῦν ἀπολύεις με, σωτήρ,
ἐκ τῆς προσκαίρου ζωῆς πρὸς τὴν ἀγήρω ».

Ἕτερος κανὼν εἰς τὴν αὐτὴν ἑορτήν. Ἀνδρέου Amph.; cdd. Ci Vm Da duos canones pro festo Hypapantes praebent: prior, opus Cosmae monachi, inc. Ῥανάτωσαν ὕδωρ νεφέλαι MR III, 482; alter· Ἕτερος κανὼν εἰς τὴν αὐτὴν ἑορτὴν quem huc proferimus canonem. Μηνὶ Φεβρουαρίῳ α'. Προεόρτια τῆς Ὑπαπαντῆς καὶ τοῦ ἁγίου μάρτυρος Τρύφωνος Σι; idem cd., odis alternatis, duos canones hoc ordine refert: priorem Εἰς τὸ τέλος τοῦ ὄρθρου ὁ κανὼν quem huc referimus; alterum Τοῦ ἁγίου ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Τρυφῆς μεθέξειν ἀξίωσόν με, Τρύφων, inc. Τῆς ὄντως ἐνθέου ἐν οὐρανοῖς MR III, 460; in Vm ποίημα Ἀνδρέου legimus.

heirm. α' EE 78, n. 110, Germani; heirm. et trop. 1-40 in Ci Vm Da Σι desunt

---

3 Luc. 2,29

---

(1) Canonis edit. Archim. Amphilokhij, *O neizdannych kanonakh B. služebnoj Febralskoj Grečeskoj Minei*. Mosca (1870), pp. 5-15.

5 * Ἀγαλλιάσθω καὶ χορευέτω, ἡ κτίσις,
τὰ τοῦ ναοῦ προπύλαια, ἐξανοιγέσθω
καὶ δεχέσθω τὸν ἱερέα καὶ ἀμνόν,
τὸν τοῦ Μωσέως σαρκὶ πληροῦντα νόμον.

* Τὸν ἐν πλαξὶ θεοχαράκτοις τὸν νόμον
10 τῷ Μωυσῇ προγράψαντα ἐν τῷ Σιναίῳ
ἐνηγκάλισαι, θεοφόρε Συμεών,
ὡς νομοδότην τὸν νόμον ἐκπληροῦντα.

* Πανηγυρίσωμεν· Χριστὸς γὰρ ἦλθεν, ἐφάνη,
ἦλθεν ἡ ἀλήθεια, ἦλθεν ἡ χάρις,
15 ἀπολύων τῶν τοῦ γράμματος δεσμῶν
πρὸς τὴν ζωὴν τὴν ἐν πνεύματι τὰ ἔθνη.

* Ὤφθη Θεὸς τῷ Ἀβραὰμ ἐν τῇ δρυῒ
τῇ Μαμβρῇ, ὡς γέγραπται, σὺ δέ, πρεσβῦτα,
ἀγκάλαις τὸν σαρκωθέντα Θεὸν
20 ὑποδεχόμενος, χαίρων μετετέθης.

* Μωυσῆς μὲν τὰ ὀπίσθια εἶδε
τοῦ Θεοῦ ἐν γνόφῳ ποτὲ καὶ θυέλλῃ,
ταῖς χερσὶ δὲ τὸν σαρκωθέντα Θεὸν
ὁ Συμεὼν νῦν δεξάμενος μετέστη.

25 * Ὡς πληρώσας τὸν τοῦ γράμματος νόμον,
ἅμα καὶ τῆς χάριτος συναπολαύων,
μετῆλθεν ὁ Συμεὼν πρὸς τὴν ζωήν,
χρηματισθεὶς διὰ πνεύματος ἁγίου.

* Ἡ σώφρων Ἄννα ἡ προφῆτις καὶ χήρα
30 ἀνθομολογεῖταί σοι τῷ δεσπότῃ,
βοᾷ σοι δὲ Συμεὼν ὁ πρεσβύτης·
« νῦν ἀπολύεις τὸν δοῦλόν σου, οἰκτῖρμον ».

---

6 προσπύλαια Amph. ἐξαναγέσθω Amph. 11 ἐναγκαλίσαι Amph. 18 μαμβρὶ Amph. 22 γνόθω Amph.

9-10 Ex. 31,18 11 Luc. 2,28 17-18 Gen. 18,1 22 Ex. 20,21 29-30 Luc. 2,36-38 32 Luc. 2,29

* Συμβολικῶς ἡ ἀξιύμνητος Ἄννα
ἀνθωμολογήσατό σοι τῷ δεσπότῃ,
35 τῷ φανέντι καὶ νηπιάσαντι σαρκὶ
καὶ ἀνατείλαντι φῶς τοῖς ἐν σκότει.

θεοτ. * Πῶς λοχεύεις ἀπειράνδρως, παρθένε;
πῶς ἀσπόρως τέτοκας καὶ παρθενεύεις;
ὡς οἶδεν ὁ νηπιάσας μοι Θεός,
40 ὃν ἀσυγχύτως τεκοῦσα παρθενεύω.

p. 2 || εἱρμὸς ἄλλος. *Φαραὼ τὰ ἅρματα*
βυθῷ καλύψας, κύριε,
τὴν θάλασσαν διέρρηξας
καὶ ἔσωσας
5 *ᾄσμασιν ὑμνοῦντά σε*
λαὸν Ἰσραηλίτην.

* Ὡς τοῦ νόμου κύριος
τοῦ νόμου τὴν διάταξιν
ἐπλήρωσας, σωτὴρ ἡμῶν,
καὶ ἔδειξας
45 πᾶσι τοῖς ὑμνοῦσί σε
τὴν σὴν οἰκονομίαν.

* Ἡ παρθένος σήμερον
φρικτὸν θυσιαστήριον
καὶ θρόνος καὶ ναὸς Θεοῦ
50 γινώσκεται
ὅθεν ἀνεδέξατο
Συμεὼν τὸν δεσπότην.

* Ὁ ναὸς ἠνέῳκται,
Συμεὼν ἀγκαλίζεται,
55 παρθένος ἐπιδίδωσι

---

heirm. ἄλλος odes α' EE 73, n. 104, Andreae; heirm. integrum praebent Vm Σι 2 post βυθῷ cetera heirm. om. Ci; post καλύψας cetera heirm. om. Da 3 διέρριξας Amph. 4 ἔσωσα Amph. 5 ὑμνοῦντας Amph. ἀνυμνοῦντα Vm 45 ἅπασι Ci Vm, σου Da 47-58 trop. in Ci Vm desunt 54 συμεὼν εὐτρεπίζεται Da

τὸν ἄχρονον,
χρόνῳ σωματούμενον
καὶ νόμον ἐκπληροῦντα.

* Ὁ τοῦ νόμου κύριος
60 ἐν τῷ ναῷ προσφέρεται
καὶ νόμῳ ὑποτάσσεται
καὶ δείκνυσι
πᾶσι τὸ σωτήριον
τῆς αὐτοῦ εὐσπλαγχνίας.

65 * Σὺν τῇ Ἄννῃ σήμερον
ὁ πρεσβύτης ἀγάλλεται·
ἡ μὲν ὡς προφητεύουσα
τὰ μέλλοντα,
οὗτος δὲ τὸν Χριστὸν
70 δεχόμενος ἀγκάλαις.

* Τὸ τοῦ νόμου πλήρωμα,
ἀπαρχὴν δὲ τῆς χάριτος,
Χριστὸν τὸν ὑπεράγαθον
καὶ κύριον
75 πάντων θεασάμενος
Συμεὼν ἀπελύθη.

εἱρμὸς ἄλλος. *Μεγέθει βραχίονός σου*
ἀπολιθωθήτωσαν
οἱ ὑπεναντίοι σου,
ἕως ἂν παρέλθῃ
5 *ὁ λαός σου, κύριε,*
ἕως ἂν παρέλθῃ

---

57 ἐν χρόνω Da 59 νόμου] κόσμου Da 61 ὑποτάττεται Ci Vm Da 63 ἅπασι Ci Vm 64 αὐτοῦ τῆς Ci Vm 66 ὁ om. Ci Vm Da νῦν post πρεσβ. add. Ci Vm Da 68 τὰ μέλλοντα ὡς ὄντα Ci Vm 69 οὗτος δὲ] ὁ δὲ πάλιν Ci Vm Da 70 δεξάμενος Vm δεχόμενον Σι 71 Τὸν Σι 75 ἁπάντων Vm post v. 76 in Ci legitur: ἕτερος κανών. Ἦχος γ'. *Μεγέθει βραχίονός σου* . . . Ἀνδρέου Κρήτης in margine sinistro scriptum, cf. commentario heirm. ἄλλος odes α' EE 71, n. 102, Andreae; eundem heirm. et vv. 77-121 om. Vm Da Σι 3 ὑπενάντιοι Amph.

ὁ λαός σου οὗτος,
ὃν ἐκτήσω, δέσποτα, τῇ δεξιᾷ σου
καὶ ἐλυτρώσω.

* Ἀγάλλου καὶ σύ, πρεσβῦτα,
δέχου τὸν σωτῆρά σου
τὸν προκηρυχθέντα σοι
80 πάλαι διὰ νόμου
καὶ νῦν ἐν τῷ πνεύματι
σοὶ χρηματισθέντα,
ἐκφανέστερον δὲ
ἐν ναῷ γνωσθέντα σοι σεσαρκωμένον
85 καὶ ὑπὸ νόμον.

* Μωσῆς μὲν πλαξὶ τὸν νόμον
πάλαι ὑπεδέξατο,
νῦν δὲ ὁ πρεσβύτατος
σὲ τὸν διὰ νόμου
90 κηρυχθέντα κύριον
σεσωματωμένον
γηραιαῖς ἀγκάλαις
χαίρων ὑπεδέξατο καὶ ἀνεβόα·
« νῦν ἀπόλυσόν με ».

95 * Ἡ Ἄννα ἡ ὄντως χήρα
ἀνθωμολογήσατο
τῷ κυρίῳ κηρύξασα
σὲ τὸν ἐν προφήταις
προκαταγγελλόμενον
100 λύτρωσιν ποιοῦντα
τοῖς ἐν ἁμαρτίαις
καὶ γνωσθέντα σήμερον νόμους πληροῦντα
νῦν ἐν τῷ νόμῳ.

---

7 σου om. Ci 8 ἐκτίσω Amph. Ci 82 σὺ Ci 83 ἐμφανέστερον Ci 89 σὲ τὸν ἐν τῶ νόμω Ci 96 ἀνθομολογησάτω Ci 97 κυρίῳ] θεῶ Ci 98 τὸν ἐν τοῖς προφήταις Ci 99 προκαταγγέλλομεν Ci 102 νόμουν Amph. νόμου Ci 103 τὸν ὑπὲρ νόμον Ci

---

86-87 Ex. 34,28 93-94 Luc. 2,36-38 95-96 Luc. 2,36-38

ιαδ. * ‖ Τριάδα ὑμνῶ ἁγίαν,
105 ἄναρχον, ἀΐδιον,
ἄκτιστον, ἀόριστον,
φῶς μὲν τὸν πατέρα,
φῶς δὲ τὸν υἱὸν αὐτοῦ,
φῶς τὸ θεῖον πνεῦμα,
110 ἀλλ' ἓν φῶς τὰ τρία,
συμφυές, ἀμέριστον, ὡς ἐξ ἡλίου
ἑνὸς ἰόντα.

οτ. * Θεόπαις, ἁγνείας κλέος,
νύμφη ἀπειρόγαμε,
115 σὺ Θεὸν σαρκούμενον
μόνη συλλαβοῦσα
ὑπὲρ φύσιν τέτοκας,
γάλα ἐκ μαζῶν σου
ἐπιδοῦσα τούτῳ
120 καὶ ναῷ προσάξασα κατὰ τὸν νόμον
τὸν ὑπὲρ νόμον.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω
καὶ ἀνυμνήσω Χριστὸν τὸν βασιλέα.

* Εὐφράνθητι,
Συμεὼν ὑποφῆτα·
ἰδοὺ γὰρ εἶδες τὸν σοὶ χρηματισθέντα.

125 * Ὑπόδεξαι
γηραλέαις ἀγκάλαις
τὸν νομοθέτην, πρεσβῦτα θεοφόρε.

104-112 τριαδ. in Ci deest 104 ἅγιαν Amph. 119 τοῦτο Amph. Ci
Ode β' in Da Σι deest
heirm. β' EE 78, n. 110, Germani; heirm. et trop. 122-142 in Ci Vm desiderantur

---

124 Luc. 2,26 125-127 Luc. 2,28

* Ἀνέῳγεν
ὁ ναός σοι τὰς πύλας
130 τῷ τῆς παρθένου ἀνοίξαντι τὴν μήτραν.

* Μετέλαβες
Μωσαϊκῶν καθαρσίων
ὁ τὰς τοῦ κόσμου καθάρας ἁμαρτίας.

* Ἀγάλλεται
135 ὁ θεοφόρος πρεσβύτης,
τὸν τῶν αἰώνων Θεὸν ὁρῶν ἐν χρόνῳ.

* Εὐλόγησεν
Συμεὼν τὴν παρθένον,
ἐξ ἧς προῆλθε Χριστὸς ἡ εὐλογία.

140 * Ἀπόλυσον
τὸν προϊδόντα σε, Λόγε,
πρὸς τὴν ἀγήρω ζωὴν ἐκ τῆς προσκαίρου.

εἱρμὸς ἄλλος. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ σωτὴρ τοῦ κόσμου,
τὸ φῶς τὸ ἀληθινόν,
5 *ἡ πηγὴ τῆς ζωῆς,*
ὁ υἱὸς τοῦ Θεοῦ.

* Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
145 ὃν ἐν ταῖς ἀγκάλαις,
ὡς ἐπὶ θρόνου Χερουβίμ,
τοῦ θεοφόρου Συμεὼν
ἡ παρθένος ἀνέθετο.

---

heirm. ἄλλος odes β' EE 78, n. 111, Germani; idem et trop. 143-172 in Ci Vm desunt

---

130 Ex. 13,2; Luc. 2,23 137-139 Luc. 2,34 143-148 Luc. 2,27-28

* Γνῶτε καὶ ἴδετε
150 ὅτι ἐγώ εἰμι
ὃν ἐχρηματίσθη
ὁ θεοφόρος Συμεὼν
τοῦ μὴ γεύσασθαι θανάτου
πρὶν ἐν σαρκὶ κατίδῃ με.

155 * « Δέχου, ὦ πρεσβῦτα »,
ἡ παρθένος ἀνέκραγε,
« τὸν ὑπὸ τὸν γνόφον
ὀφθέντα πάλαι τῷ Μωσῇ,
νῦν ἐν τῷ πνεύματι
160 σαρκὶ φανερωθέντα μοι ».

* « Ἦλθεν ὁ λυτρωτής,
ἦλθεν ὁ ἀπολύων σε·
δεῦρο οὖν, πρεσβῦτα,
τὰ νεκροτάφια λαβών,
165 πρὸς τὴν ἐν πνεύματι ζωὴν
τῆς προσκαίρου μετάβηθι ».

θεοτ. * Ἡ κύησις ἄσπορος
καὶ ὁ τόκος σου ἄφθορος·
Θεὸν γὰρ γεννῆσαι
170 ἀξιωθεῖσα ἐν σαρκί,
ἐκαινοτόμησας μόνη
τὴν φύσιν, μητροπάρθενε.

εἱρμὸς ἄλλος. *Ἴδετε, ἴδετε,*
ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὑμῶν,
ὁ ἐν ἐρήμῳ τὸν λαὸν
5 *ὅταν ἀπεδίδρασκε*

149 v. om. Amph.
heirm. ἄλλος odes β′ EE 71, n. 102, Andreae; heirm. et trop. 173-260 om. Vm

149-154 Luc. 2,26 157-158 Ex. 20,21 165-166 Joh. 5,24

τὴν τυραννίδα Φαραὼ
μαννοδοτήσας δαψιλῶς
καὶ τὰ νάματα ῥάβδῳ
πηγάσας ἐκ πέτρας
10 *καὶ τεχθεὶς ἐκ παρθένου,*
καθὼς ηὐδόκησα.

* Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
175 ὁ Θεὸς ὑμῶν,
ὁ ἐν χερσὶ πρεσβυτικαῖς
σήμερον ὡς νήπιον
καὶ ὑπὸ νόμον γεγονὼς
καὶ τῷ ναῷ προσενεχθεὶς
180 καὶ τὸν νόμον πληρώσας
τὸν τοῦ Μωυσέως
καὶ ῥυσάμενος πάντας
ἐκ τῶν τοῦ νόμου ποινῶν.

* « Ὄντως ἐγώ εἰμι
185 καὶ οὐκ ἠλλοίωμαι »,
λέγει κύριος,
« ὃν ὁ πρεσβύτης Συμεὼν
ἀγκάλαις δεξάμενος
μετακεχώρηκεν ἐκ γῆς
190 πρὸς τὴν ἀΐδιον ζωήν,
καθὼς ἐχρηματίσθη,
ἰδὼν ἃ μὴ εἶδον
οἱ προφῆται, οἱ θεῖοι
πνευματορρήτορες ».

p. 4 195 * ‖ « Ὄντως ἐγώ εἰμι
καὶ ἄλλος πλὴν ἐμοῦ
οὐκ ἐγνώσθη Θεός,
ὁ τὸν πρεσβύτην ἐν ναῷ

7 μανναδοτήσας EE 8 ῥάβδῳ] τὰ πάλαι EE πάλαι Ci 177 νήπιος Ci 190 ἀείδιον Amph. 192 ἰδὼν] ἴδον Ci

184-185 Mal. 3,6 187-191 Luc. 2,26-28

σήμερόν μοι κράζοντα·
200 – νῦν ἀπολύεις με, σωτήρ·
εἶδον γάρ σε τὸν λυτρωτήν –
τῶν δεσμῶν ἀπολύσας
πρὸς τὰς αἰωνίους
καὶ ἀφθάρτους χορείας
205 τῶν προπατέρων αὐτοῦ ».

* « Δέχου, ὦ πρεσβῦτα
ἀξιοθαύμαστε,
τὸν τοῦ νόμου Θεὸν »
ἡ ἀπειρόγαμος ἁγνὴ
210 σὲ τὸν νηπιάσαντα
δι' εὐσπλαγχνίαν τῷ ναῷ
προσαγαγοῦσα νομικῶς
τῷ πρεσβύτῃ ἐβόα
πληροῦσα τὸ γράμμα,
215 ἵνα ἔλθῃ τὸ πνεῦμα
καὶ λάμψῃ πᾶσι τὸ φῶς.

* « Εἶδόν σε, εἶδόν σε
τὸν ἐν τῷ πνεύματι
γνωρισθέντα μοι·
220 χρηματισθεὶς γὰρ μὴ ἰδεῖν
θάνατον ἀνθρώπινον,
πρὶν ἄν σε ἴδω ἐν σαρκὶ
τὴν ὑπεράρχιον ζωήν,
τῶν χρησμῶν ἐδεξάμην
225 τὰς θείας ἐκβάσεις »
ὁ πρεσβύτης ἐβόα
σοὶ τῷ τῶν ὅλων Θεῷ.

* Σὺ εἶ ζωὴ ἡμῶν,
σὺ εἶ Θεὸς ἡμῶν,

---

204 χωρέας Amph. 206 Δέχου πρεσβύτατε Ci 211 τῷ ναῷ] τῶν ἄνω Ci 216 λάμψει Ci 224 τὸν χρησμὸν Ci 227 σοι om. Ci 228-238 trop. om. Ci

---

200 Luc. 2,29 220-223 Luc. 2,26

230 σὺ εἶ τὸ φῶς τῆς ζωῆς,
ὃν ἐν ἀγκάλαις Συμεὼν
σήμερον δεξάμενος,
ἐκ τῆς προσκαίρου βιοτῆς
πρὸς σὲ τὴν ἄϋλον ζωὴν
235 μετανάστης ἐδείχθη,
ὡς πλήρωμα νόμου
προστεθεὶς ἐν τῷ κλήρῳ
τῶν προπατέρων αὐτοῦ.

τριαδ. * Ἔγνωμεν, ἔγνωμεν
240 ὅτι Θεὸς ἡμῶν
σὺ εἶ, κύριε,
ὁ ὁμοούσιος πατρὶ
καὶ ἁγίῳ πνεύματι,
ἡ ἀπαράλλακτος εἰκὼν
245 καὶ χαρακτὴρ καὶ ἰσουργὸς
τοῦ πατρός σου καὶ Λόγος
καὶ εἷς τῆς Τριάδος,
ὁ πατρὶ καὶ πνεύματι
συμπροσκυνούμενος.

θεοτ. * Ἴδετε, ἴδετε
251 ὅτι ἐγώ εἰμι
ὁ Θεὸς ὑμῶν,
ὁ ἐκ λαγόνων μητρικῶν
σάρκα προσλαβόμενος
255 καὶ ἀναπλάσας τὸν Ἀδὰμ
καὶ ζωώσας τοὺς πάλαι
πρὸ τοῦ νόμου θανέντας
καὶ μετὰ τὸν νόμον
καὶ ἀείζωον αἴγλην
260 τῇ οἰκουμένῃ διδούς.

---

230 εἶ om. Amph. 240 ἡμῶν in Amph. deest 245-246 ὁ χαρακτὴρ ὁ τοῦ πατρὸς / ὁ υἱός τε καὶ λόγος Ci 247 καὶ] ὁ Ci 248 ὁ] τῷ Ci 250-260 θεοτ. om. Ci

ᾠδὴ γ'. Ἐστερεώθη ἡ *καρδία μου ἐν κυρίῳ*

* Τὸν ζωοδότην κύριον ἐν ἀγκάλαις
Συμεὼν δεξάμενος, ἀνεβόα·
« νῦν ἀπολύεις τὸν δοῦλόν σου
κατὰ τὸ ῥῆμά σου ».

265 * Ὢ μυστηρίου ξένου καὶ παραδόξου!
ὁ πρεσβύτης δέχεται τὸν ἐν θρόνῳ
χερουβικῶς ἐποχούμενον
καὶ οὐ φλογίζεται.

* Χαῖρε, ἡ ζῶσα πύλη τῆς βασιλείας,
270 ἡ τὸ ζῆν ἐκθρέψασα ἐκ μαζῶν σου·
χαῖρε, ὁδὸς ἡ ἀνάγουσα
πρὸς τὴν ἐκεῖθεν ζωήν.

θεοτ. * Χαῖρε, λαβὶς ἣν εἶδεν Ἡσαΐας,
ἡ τὸν θεῖον ἄνθρακα ἐπιδοῦσα,
275 τὸν νηπιάσαντα κύριον,
τῷ ἱερῷ Συμεών.

εἱρμὸς ἄλλος. *Στερέωσόν με, κύριε,*
μόνε πολυέλεε,
καὶ ἔκτεινόν μοι χεῖρα
σωτηρίας ὡς φιλάνθρωπος.

* Στερέωσόν με, κύριε,
ὁ μετὰ τὸ τεχθῆναί σε
σαρκὶ ἐκ τῆς παρθένου
280 τῷ ναῷ προσενεχθεὶς δι' ἡμᾶς.

---

heirm. γ' EE 78, n. 110, Germani; heirm. integrum tradit Σι sed eundem et trop. 261-276 om. Ci Vm Da 266 θρόνῳ] χρόνω Amph. 273 ὁ ἠσαΐας Σι
heirm. ἄλλος odes γ' EE 76-77, n. 108, Andreae; heirm., quem in Ci Da integrum invenies, et trop. 277-304 om. Vm Σι 4 σωτηρίας] βοηθείας EE Ci 280 τῷ] ἐν Ci Da

---

261-264 Luc. 2,29 273 Is. 6,6

* Τὴν μήτραν τῆς τεκούσης σε,
σωτήρ, ἐν τῷ γεννᾶσθαί σε
αὐτὸς προδιανοίξας
προσηνέχθης τῷ σεπτῷ ἱερῷ.

285 * Πρεσβύτης τῇ πρεσβύτιδι
εὐθέως συνευφραίνεται·
ὁ μὲν ὡς θεοφόρος,
ἡ δὲ ὡς θεολογήσασα.

p. 5 * ‖ Ἐν τῷ ναῷ σε, δέσποτα,
290 ἀγκάλαις ὑπεδέξατο
ὁ δίκαιος πρεσβύτης
καὶ ἀνέθαλε τῷ πνεύματι.

* Ὃν τρέμει πᾶσα σύστασις
γηγενὴς καὶ ἀσώματος
295 ἀφράστως σαρκωθέντα
Συμεὼν ἐναγκαλίζεται.

* Ἰδών σου τὸ σωτήριον
ἐθνῶν εἰς ἀποκάλυψιν,
υἱὲ Θεοῦ, ὁ πρέσβυς
300 ἐκβοᾷ· « νῦν ἀπολύεις με ».

θεοτ. * Σκῆπτρον Δαυῒδ τὸ ἅγιον
καὶ ἄστρον ἐξ Ἰούδα σε
ἐπέγνωμεν, παρθένε,
καὶ κιβωτὸν τοῦ ἁγιάσματος.

εἱρμὸς ἄλλος. *Στερεώθητι, ψυχή,*
ἐν κυρίῳ τῷ Θεῷ

305 * Εὐφραινέσθω, Συμεών,
ἐκβοάτω τῷ Χριστῷ

---

283 πρὸσδιανοίξας Da 284 προσηνέχθης deest in Amph. 286 εὐθέως] ἐν ναῶ Ci Da 289 σε] ὢ Da 292 καὶ ἀν. ἐν τῶ πν. Da 293-304 trop. desiderantur in Ci Da
heirm. ἄλλος odes γ' EE 71, n. 102, Andreae: καὶ βόα καυχομένη post Θεῷ add. Da; καὶ βόα καυχομένη / οὐκ ἔστιν ἅγιος / πλήν σου κύριε add. Vm; idem heirm. et trop. 305-334 desunt in Σι 306 Χριστῷ] Θεῷ Vm

---

297-300 Luc. 2,29-32

« ἀπόλυσόν με », κράζων,
« σαρκὶ γὰρ κατεῖδόν σε
τὸν τοῦ Μωσέως Θεόν ».

310 * Εὐτρεπίζου, Συμεών.
ἑτοιμάζου πρὸς ταφήν,
ἀνάστηθι καὶ δέχου
ὃν εἶδες ἐν πνεύματι
χρηματισθέντα σοι.

315 * Καθαρσίων νομικῶν,
ὁ τοῦ νόμου ποιητής,
μετέσχες κατὰ νόμον
δεικνὺς τὸ ἡμέτερον
ὅλον ἀτρέπτως ἐν σοί.

320 * Ἡ ἀπείρανδρος ἁγνή,
ἡ τεκοῦσα τὸν Θεόν,
τὸν νόμῳ ὑπαχθέντα,
ἁγνίζεται σήμερον
καὶ ἁγιάζει ἡμᾶς.

τριαδ. 325 * Τῇ Τριάδι καὶ Θεῷ
προσκυνοῦντες εὐσεβῶς
βοήσωμεν ἀπαύστως·
« Τριὰς ὁμοούσιε,
σῶσον τὸν κόσμον σου ».

θεοτ. 330 * Θεοχώρητε ναέ,
καὶ τοῦ μάννα κιβωτέ,
τὸν κτίστην καὶ υἱόν σου
ἱκέτευε, δέσποινα,
ὑπὲρ τῆς ποίμνης σου.

---

309 Μωσέως] νόμου Ci Da 315 νομικῶν] κοινωνεῖς Vm 317 μετέσχες τῶν τοῦ νόμου Vm 320-334 trop. desiderantur in Da 320-329 trop. om. Vm 320 Ἀπειράνδρως ἡ ἁγνὴ Ci 322 τὸν] τῷ Ci 330 θεοχαρίτωτε Ci 334 ὑπὲρ τῶν δούλων σου Ci post odem γ′ Σι praebet: Κάθισμα. Ἦχος α′. *Τοῦ λίθου σφραγισθέντος* Ἐν τῷ ναῷ προσηνέχθης, / ἡ ζωὴ τῶν ἁπάντων, / καὶ ἐν ἀγκάλαις ἐδείχθης / Συμεὼν τοῦ πρεσβύτου / βοῶντός σοι τῷ δεσπότῃ καὶ Θεῷ· / « νῦν ἀπολύεις τὸν δοῦλόν σου, σωτήρ, / κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, / ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου ». / Δόξα τῇ ἀγαθότητι τῇ σῇ, / δόξα τῇ εὐσπλαγχνίᾳ σου, / δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε.

ᾠδὴ δ′. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην,
κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην, οἰκτῖρμον.

335 * Τὰ παράδοξα
τῆς ἐν σαρκί σου οἰκονομίας
τίς ἀξίως, ἀκατάληπτε,
γηγενῶν ἀνυμνήσει;

* Πάντα ἔνδοξα
340 τῆς σῆς ἀφράστου θεοφανείας·
ἡ ἀνάδειξις, ἡ κάθαρσις,
ἡ τοῦ νόμου λατρεία.

p. 6 * ‖ Σὲ κηρύττομεν
τὸν ἐν Σιναίῳ νομοθετοῦντα
345 καὶ ὡς βρέφος προσαγόμενον
τῷ ναῷ κατὰ νόμον.

εἱρμὸς ἄλλος. *Τὴν ἀκοήν σου, κύριε,*
εἰσακήκοα καὶ ἐφοβήθην,
τὰ ἔργα σου κατενόησα καὶ ἐξέστην,
ὅτι, Θεὸς πρὸ αἰώνων ὑπάρχων,
5 *ἐκ παρθένου ἐτέχθης*
γενόμενος ἄνθρωπος.

* Ὃν τῇ λαβίδι ἄνθρακα
Ἡσαΐας ἐδέξατο πάλαι
ἡ ἄμεμπτος τῷ ναῷ σαρκὶ νῦν προσάγει,
350 ὃν ὁ πρεσβύτης δεξάμενος κράζει
χαίρων· « νῦν ἀπολύεις
τὸν δοῦλόν σου, δέσποτα ».

---

heirm. δ′ EE 78, n. 110, Germani; heirm., quem Vm Σι integrum tradunt, et trop. 335-346 om. Ci Da 4 *καὶ ἐδόξασά σε* EE Σι *καὶ ἐδόξασα* Amph. 339-346 trop. om. Vm
heirm. ἄλλος odes δ′ EE 79, n. 111, Germani; eundem et trop. 347-364 tantum in Amph. habeas

---

347-348 Is. 6,6 351-352 Luc. 2,29

*   Τοῦ μὴ ἰδέσθαι θάνατον
ἕως ἂν ἴδῃ τὸν Χριστὸν κυρίου
355 τῷ πνεύματι Συμεὼν προεχρηματίσθη,
ὃν καὶ δεξάμενος πᾶσι κηρύττει
λυτρωτὴν καὶ σωτῆρα
καὶ φῶς τῶν ἐν σκότει βοῶν.

*   Τὸν καὶ τοῦ νόμου κύριον
360 ὑπὸ νόμον ἐλθόντα βουλήσει
δεξάμενος ἐν χαρᾷ ἐβόα ὁ πρέσβυς·
« νῦν ἀπολύεις τὸν δοῦλόν σου· ὄντως
εἶδον οἱ ὀφθαλμοί μου,
Χριστέ, τὸ σωτήριόν σου ».

εἱρμὸς ἄλλος. *Τί ἐξέστης, Ἀμβακούμ;*
τίνι κράζεις καὶ βοᾷς;
ἀπὸ Θαιμὰν ἥξει ὁ Θεός,
ὁ Λόγος σάρξ ἐγένετο
5 *καὶ ἐσκήνωσεν ἐν ἡμῖν*
καὶ ἐθεασάμεθα
τρανῶς τὴν δόξαν αὐτοῦ.

365 *   Ἐνεδύσω τὸν Ἀδάμ,
ἵνα θεώσῃς τὸν Ἀδάμ,
ὃν Συμεὼν εἶδεν ἐν σαρκὶ
καὶ χαίρων ὑπεδέξατο
καὶ ἐβόησεν ἐν χαρᾷ·
370 « νῦν ἀπολύεις με
πρὸς τὴν ἀγήρω ζωήν ».

*   Ἑτοιμάζου, Συμεών,
πρὸς τὴν μετάρσιον ζωήν·

---

heirm. ἄλλος odes δ' EE 69, n. 99, Joannis; heirm. et troparia 365-392 in Ci Vm Σι desunt   1 Ἀββακοὺμ EE   2 τί κραυγάζεις καὶ βοᾷς Da   3 θέμαν Amph.   θεμᾶν Da   6 ἐθεασάμην Da   366 θεώσεις Da   367 συμεὼν γὰρ ἴδεν σε σαρκὶ Da   369 ἐν om. Da

---

353-355 Luc. 2,26   362-364 Luc. 2,29-30

ἰδοὺ γὰρ νῦν ἦλθεν ὁ Χριστός,
375 ἦλθεν ὁ ἀπολύων σε,
ἦλθεν ὃν ἐπόθεις ἰδεῖν,
ὃν καὶ ἐθεάσω
βοῶν· « ἀπόλυσόν με ».

*   Τίνα φέρων, Συμεών,
380 τίνι κράζεις καὶ βοᾷς;
« τὸν ἐν Σινᾷ πάλαι τῷ Μωσῇ
σαρκὶ χρηματισθέντα μοι·
διὰ τοῦτο χαίρων βοῶ·
« νῦν ἀπολύεις με
385 πρὸς τὴν ἀγήρω ζωήν ».

*   Εἰς ἀποκάλυψιν ἐθνῶν
φῶς προεκλάμψας ἐκ πατρὸς
τῷ Συμεὼν ὤφθης ἐν σαρκί·
διὸ καὶ ἀνεκραύγαζεν·
390 νῦν ἀπόλυσόν με, σωτήρ,
ὡς προεπηγγείλω,
πρὸ τοῦ ἰδεῖν σε σαρκί ».

εἱρμὸς ἄλλος. *Σὲ Ἀμβακοὺμ*
προδιετύπου, θεομῆτορ ἀπειρόγαμε,
ὄρος κατάσκιον,
ἐξ οὗ ὁ Θεός, σεσαρκωμένος ὀφθείς,
5 *προῆλθεν ἀσυγχύτως*
ὅλος Θεὸς
καὶ ἄνθρωπος ὁ αὐτὸς κατ' οὐσίαν.

*   Σὲ Συμεὼν
πρεσβυτικαῖς ἀγκάλαις, Λόγε, νηπιάσαντα
395 ὑποδεξάμενος
ἐβόα, σωτήρ· « νῦν ἀπολύεις με σὺ

375-378 ἦλθεν ὃν ἐπόθεις ἰδεῖν / ὃν καὶ θεάσω βοῶν / νὺν ἀπολύης με / πρὸς τὴν ἀγείρω ζωὴν Da   384 νῦν ἀπόλυσόν με Da   386-392 trop. om. Da
heirm. ἄλλος odes δ' EE 71, n. 102, Andreae; idem heirm. et troparia 393-434 in Vm Da Σι desiderantur   1 Ἀββακοὺμ EE   2 προδιετύποι Amph.   θεοτόκε Ci   4 ἐκ σοῦ ὁ χριστὸς σεσ. ὠφθεὶς Ci   6 ὅλως Amph.   395 δεξάμενος Ci   396 σωτὴρ om. Ci

τὸν δοῦλον ὁ δεσπότης·
εἶδον γάρ σε
τὴν δόξαν τὴν ἐκ πατρὸς καὶ εὐφράνθην ».

p. 7 400 * ‖ Ὃν Ἀβραὰμ
ἐν τῇ σκηνῇ προεῖδε πάλαι ὡς ἐν σχήματι
ἀγγελικῷ ἐν Μαμβρῇ,
ἐδέξατο νῦν ὁ Συμεὼν ἐν σαρκὶ
ἀγκάλαις καὶ ἐβόα·
405 « εἶδον, σωτήρ,
σὲ τὸν Χριστὸν τοῦ Θεοῦ καὶ εὐφράνθην ».

* Ὃν Ἰακὼβ
ἐπὶ τῆς κλίμακος ἑώρα, νῦν ἐδέξατο
ὁ ἱερεὺς Συμεών,
410 πρὸς ὃν ἐκβοᾷ· « νῦν ἀπολύεις με σὺ
τὸν δοῦλον ὁ δεσπότης·
εἶδον γάρ σε
τὸ φῶς τῆς ζωῆς καὶ εὐφράνθην ».

* Ὃν Μωυσῆς
415 ἐπὶ τοῦ ὄρους ἐν τῷ γνόφῳ ἐθεάσατο,
νῦν ἐν σαρκὶ θεωρῶν
ὁ πρέσβυς βοᾷ· « νῦν ἀπολύεις με σὺ
τὸν δοῦλον ὁ δεσπότης·
εἶδον γάρ σε
420 τὸν θρέψαντα τὸν λαὸν ἐν ἐρήμῳ ».

τριαδ. * Ἕνα ὑμνῶ
Θεὸν πατέρα τὸν προόντα, τὸν ἀγέννητον,
ἕνα κηρύττω υἱόν,
Θεὸν ἐκ Θεοῦ καὶ ἐκ πατρὸς γεννητὸν
425 καὶ ἓν δοξάζω πνεῦμα

---

399 ηὐφράνθην Ci 402 μαμβρὶ Amph. Ci 403 ὁ om. Ci 406 σε om. Ci ηὐφράνθην Ci 409 ὁ ἱερὸς σ. Ci 410 ἐκβοᾷ] καὶ ἀνεβόα Ci 413 ηὐφράνθην Ci 417 πρεσβύτης Ci 421-434 trop. desunt in Ci

---

400-402 Gen. 18,1 407-408 Gen. 28,10-12 414-415 Ex. 20,21

φύσει Θεόν,
ἐκπορευτὸν οὐ κτιστὸν οὐδὲ δοῦλον.

θεοτ. * Πάντα σεμνά,
πάντα τερπνὰ τῆς σῆς ἁγνείας τὰ μυστήρια,
430 θεογεννῆτορ ἁγνή·
ἡ σύλληψίς σου, ὁ ὑπὲρ νοῦν τοκετός,
ὁ θεῖος ἁγνισμός σου·
πάντα καινὰ
καὶ ὄντως δόξης Θεοῦ πεπλησμένα.

ᾠδὴ ε΄. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν, υἱέ,*

435 * Σὲ Συμεὼν δεξάμενος
ἐβόα πάλαι, σωτήρ·
« εἶδόν σε νῦν ἐν σαρκὶ
κατὰ τὸ ῥῆμά σου,
εἶδόν σε τὸν σωτῆρα,
440 εἶδόν σε φῶς τὸ τῶν ἐθνῶν,
εἶδον, ἀπόλυσόν με ».

* Τὴν κατὰ νόμον, δέσποτα,
λατρείαν νῦν ἐκπληροῖς,
ἵνα τοὺς πρὶν ὑπὸ νόμον
445 ἀναδείξῃς υἱοὺς
τοῦ σοῦ εὐαγγελίου
ἀπαλλάξας τοῦ ζυγοῦ
τοῦ νομικοῦ, ὁ Θεός.

* Ἄννα ἡ ὄντως ἄμεμπτος
450 χήρα, μονόζυγος

---

heirm. ε΄ EE 78, n. 110, Germani; in Vm Σι heirm. integer invenitur 435-441 troparium om. Vm Da 440-441 νῦν ἀπόλυσον τὸν δοῦλόν σου / φιλάνθρωπε Ci 443 ἐκπληρῶν Da 444-445 τοὺς πρὶν ὑπὸ νόμον / ἵνα δείξῃς υἱοὺς Vm 448 ὁ] ὡς Da 449-455 trop. deest in Da 450 χήρα] καὶ Ci Vm

---

449-455 Luc. 2,36-38

τῷ ἱερῷ ἐπιστᾶσα,
καθὼς γράφει Λουκᾶς,
σοὶ ἀνθωμολογεῖτο
τῷ ἐγείραντι ἡμῖν
455 κέρας σωτηρίας.

* Ὡς ἐκ τραπέζης ἄνθρακα
τὸν σόν, παρθένε, υἱὸν
τῇ τῶν χειρῶν σου λαβίδι
περιπτύξασα,
460 ὡς ἄλλῳ Ἠσαΐᾳ,
τῷ πρεσβύτῃ Συμεὼν
βρέφος μετέδωκας.

* Τὸ Μωυσέως πρόσωπον,
σωτήρ, δεδόξασται·
465 ὡς ἐν ὀπῇ γὰρ τῆς πέτρας
ἐθεάσατό σε,
ὃν εἶδεν ὁ πρεσβύτης
καὶ ἀγκάλαις γεγηθὼς
νῦν ὑπεδέξατο.

470 * Τὰ τῶν ἁγίων ἅγια,
σωτήρ, ἐδέξαντό σε,
ὡς τὴν νηδὺν τῆς μητρὸς
προανοίξαντα
καὶ ἅγια ἁγίων
475 ἀναδείξαντα αὐτήν,
ὡς τοῦ ἁγίου τροφόν.

---

453 σὺ ἀνθωμολογεῖτω Amph. σοι om. Ci Vm ἀνθομολογεῖτω Ci ἀνθομολογεῖτο Vm 455 σωτήριον Ci Vm Σι 459 περιπτήξασα Amph. 460 ὡς ἄλλος ἠσαΐας Da 462 ἐπέδωκας Ci Vm πρὸσήνεγκας Da 463-476 trop. desunt in Ci Vm Da

---

456-460 Is. 6,6 463-466 Ex. 33,22

εἱρμὸς ἄλλος. *Πρὸς σὲ ὀρθρίζω*
τὸν ἐκ γαστρὸς πρὸ ἑωσφόρου
ἐκλάμψαντα τῷ κόσμῳ ὄρθρον·
ἐσκοτισμένον τοῖς πλημμελήμασιν,
5 *σωτήρ, προφθάσας διάσωσόν με.*

* Ἡ θεοτόκος
τῷ θεοφόρῳ πρεσβύτῃ
τὸν ἄσπορον υἱὸν προσήγαγέ σε,
480 τὸν πρωτότοκον πάσης κτίσεως,
σωτήρ, δεικνῦσα τὴν σάρκωσίν σου.

* Ἐν ταῖς ἀγκάλαις
ὁ θεοφόρος πρεσβύτης
δεξάμενός σε ἀνεβόα·
485 « νῦν ἀπολύεις, σωτήρ, τὸν δοῦλόν σου,
ὅτι εἶδόν σε σήμερον, κτίστα ».

p. 8 * || Πρὸς τὴν παρθένον
προανεφώνει ὁ πρέσβυς,
ἐθνῶν τὴν κλῆσιν προδιαγράφων·
490 « οὗτος εἰς πτῶσίν τε καὶ ἀνάστασιν
πολλῶν ἐν κόσμῳ κεῖται, παρθένε ».

* Τὰ ἐν τῷ νόμῳ
συγκαταβάσει πληρώσας,
ἐν τῷ ναῷ κατὰ τὸν νόμον,
495 ὡς νόμου κύριος καὶ διδάσκαλος,
σωτήρ, ἐγνώσθης φῶς τῶν ἐν σκότει.

---

heirm. ἄλλος odes ε' EE 71, n. 102, Andreae; heirm. et troparia 477-516 om. Vm Σι 2 γαστρὸς] πατρὸς EE Ci ἑωσφόρου] αἰώνων Ci 4-5 vv. heirm. om. Ci 5 διάσωσόν με] καταύγασόν με ὁ Θεὸς EE καταύγασόν με Da 479 προσήγαγέ σε] προσάγει Ci Da 480 τὸν] σὲ τὸν Ci Da τῆς post πάσης add. Da 483 θεόπτης Da 484-486 ἐθνῶν τὴν κλῆσιν προμηνύων / οὕτως εἰς πτῶσιν καὶ εἰς ἀνάστασιν / πολλῶν ἐν κόσμω κεῖται παρθένε Da, cf. vv. 489-491 486 ὅτι σε ἴδον οἱ ὀφθαλμοί μου Ci 487-491 trop. om. Da 490 τε om. Ci 491 παρθένος Ci 496 τῶν] τοῖς Ci Da

---

490-491 Luc. 2,34

* Τὴν ἐξ ἐθνῶν σοι
προσαγομένην λατρείαν
προέλεγεν ὁ ἱερεύς σου·
500 « εἰς φῶς ἐθνῶν ἡμῖν ἀπεκάλυψας,
σωτήρ, τὴν δόξαν τὴν πατρικήν σου ».

* Τὸ τῆς ἁγνείας
καὶ παρθενίας δοχεῖον
ἐν τῷ καιρῷ τῶν καθαρσίων
505 κατὰ τὸν νόμον τὸν νόμου κύριον
ἐν τῷ ναῷ σου προσήνεγκέ σε.

τριαδ. * Τὴν παναγίαν
καὶ ὁμοούσιον Τριάδα,
πατέρα καὶ υἱὸν καὶ θεῖον πνεῦμα,
510 τριαδικῶς ἱερολογήσωμεν·
αὐτὴ γὰρ σῴζει πάντα τὸν κόσμον.

θεοτ. * Ἡ τὸν σωτῆρα,
τὸν ἐκ πατρὸς πρὸ τῶν αἰώνων
ἐκλάμψαντα, σαρκὶ τεκοῦσα
515 καὶ μετὰ τόκον παρθένος μείνασα,
σῷζε τὸν κόσμον, θεογεννῆτορ.

ᾠδὴ ς′. *Ἐβόησα*
ἐν στεναγμοῖς ἀσιγήτοις
πρὸς τὸν οἰκτίρμονα Θεὸν
καὶ ἐπήκουσέ μου
5 *ἐξ Ἅιδου κατωτάτου*
καὶ ἀνήγαγεν
ἐκ φθορᾶς τὴν ζωήν μου.

* Ὑπόδεξαι,
Συμεών, τὸν δεσπότην

497-501 trop. deest in Ci 500 ἡμῖν om. Da 502-511 trop. desiderantur in Da 509 πατ. υἱὸν καὶ πν. Ci 516 θεογεννῆτορ] παντὸς κινδύνου Da

heirm. ς′ EE 79, n. 111, Germani; heirm., quem in Σι integrum invenies, et troparia 517-558 om. Vm Da 3 post οἰκτίρμονα cetera heirm. om. Ci 6 ἀνήγαγες Amph.

καὶ εὐτρεπίζου πρὸς ταφήν·
520 ἰδοὺ γὰρ εἶδες ἃ ποθεῖς
καὶ βαστάζεις ὃν ζητεῖς,
ἀλλ' ἑτοιμάσθητι
πρὸς τὴν ἔξοδον λοιπόν.

* Ἐδέξατο
525 Συμεὼν ἐν ἀγκάλαις
τὸν ζωοδότην καὶ φησίν·
« σὺ εἶ ὄντως ὁ Χριστός,
ἡ αἰώνιος ζωή,
σὺ εἶ ὃν ἤλπισα
530 κατιδεῖν πρὸ τοῦ τέλους ».

* « Ἀπόλυσον
τῆς ζωῆς τῆς προσκαίρου
πρὸς τοὺς πατέρας με, σωτήρ,
ὅτι εἶδον ὀφθαλμοῖς
535 καὶ ἐβάστασα χερσὶν
σὲ τὸν Χριστὸν τοῦ Θεοῦ
τὸν ἀπολύοντά με ».

* Ἐκαίνισεν
ὁ υἱὸς καὶ Θεός σου
540 ἐν σοὶ τὴν φύσιν τοῦ Ἀδάμ,
ξένην γέννησιν ἡμῖν
ὑποδείξας, παρθένε,
καὶ τὴν χαρὰν ἡμῖν
ἀντεισάξας τῆς ἀρᾶς.

τριαδ. 545 * Δοξάσωμεν,
οἱ πιστοί, τὴν Τριάδα,
τὴν ἐν θεότητι μιᾷ
ὑμνουμένην εὐσεβῶς
ὑπὸ πάντων τῶν πιστῶν,

---

520 ἃ ποθεῖς] τὸν χριστὸν Ci 521-523 καὶ ἐβόας πρὸς αὐτὸν / νῦν ἀπολύεις με / τὸν σὸν δοῦλον οἰκτίρμων Ci 526 καὶ φησίν] κεκραγὼς Ci 527 Χριστός] θεὸς Ci 529 ἤλπιζον Ci 530 καθιδεῖν Ci 533 με] μου Ci 536 τὸν om. Ci τοῦ om. Ci Σι 538-558 trop. desunt in Ci

550 τὴν τρισυπόστατον
ἐν μονάδι ἀνάρχῳ.

9 θεοτ. * || Ὁ τόκος σου,
θεοτόκε Μαρία,
ἡμᾶς συνῆψε τῷ πατρὶ
555 καὶ ἐθέωσεν ἡμᾶς
τῇ προσλήψει τῆς σαρκός,
ἣν ἐνεδύσατο
δι' ἡμᾶς ὡς οἰκτίρμων.

εἱρμὸς ἄλλος. *Ἐν βυθῷ πταισμάτων,*
σωτήρ μου, ὑπάρχων βοῶ σοι·
« ὡς τὸν προφήτην, κύριε,
ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου ».

* Συμεὼν πρεσβῦτα,
560 ἀγάλλου καὶ χόρευε καὶ σκίρτα,
τὸν βασιλέα κύριον
δεχόμενος πρεσβυτικαῖς ἀγκάλαις.

* Ἡ προφῆτις Ἄννα,
ὡς κτίστῃ ἀνθομολογουμένη,
565 προανεφώνει, κύριε,
τὴν ἔλευσιν τῆς σῆς οἰκονομίας.

* Νεοσσοὺς τρυγόνων,
σωτήρ μου, εἰκόνα σωφροσύνης,
περιστεράν τε ἄμωμον
570 προσήνεγκεν ἡ τεκοῦσά σε, σωτήρ.

554-555 ἡμᾶς τῇ προσλήψει τῆς σαρκὸς / ἣν ἐνεδύσατο δι' ἡμᾶς Σι
heirm. ἄλλος odes ς' EE 71, n. 102, Andreae; ipsum heirm. et troparia 559-570 om. Ci Vm Σι   2 ἐκβοῶ EE Da   559 πρεσβῦτα] προφῆτα Da 570 σωτὴρ]μήτηρ Da

---

567-570 Luc. 2,23

εἱρμὸς ἄλλος. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*
καταντήσαντας, φιλάνθρωπε,
καὶ τρικυμίᾳ πειρασμῶν
ἀπολέσθαι κινδυνεύοντας,
5 *βοῶντας, μὴ παρίδῃς·*
« σῶσον σωτήρ,
ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην ».

* Τὰ μεγαλεῖά σου, παρθένε,
ἃ ἐποίησέ σοι κύριος,
ἰδὼν ὁ πρέσβυς Συμεών,
ἀνεβόα σοι ἐν τῷ ἱερῷ·
575 « ὁρᾷς τοῦτο τὸ βρέφος;
οὗτος ἐστὶν
ὁ θρέψας τὸν Ἰσραὴλ ἐν ἐρήμῳ ».

* Τὰ κατὰ νόμον ὑπὲρ νόμον
ὁ τοῦ νόμου νομοθέτης
580 καὶ ὑπὸ νόμον δι' ἡμᾶς
ὑπαχθείς, πάντα ἐπλήρωσεν,
ἡμᾶς λύσας τοῦ νόμου
καὶ εἰς τὸ φῶς
τὸ γράμμα πνευματικῶς μεθαρμόσας.

585 * Ὁ ἑνωθείς μοι κατ' οὐσίαν
καὶ τροπὴν μὴ ὑπομείνας,
πάντα ἠνέσχου δι' ἡμᾶς
καὶ γνωσθῆναι καὶ τεχθῆναι σαρκὶ
καὶ γάλακτι τραφῆναι
590 καὶ τῷ ναῷ
προσενεχθῆναι, σωτήρ, κατὰ νόμον.

---

heirm. ἄλλος odes ς' EE 78, n. 110, Germani; heirm. et troparia 571-619 desunt in Σι   2-7 vv. heirm. om. Ci   3 τρικυμίαις EE Vm Da   5-7 vv. heirm. om. Vm   573 ἰδὼν] ὁρῶν Ci   577 τὸν] τῶ Amph.   579 νομοδότης Ci Vm   580 ὑπὸ] ὑπὲρ Vm   581 ἐπλήρωσας Vm   583 καὶ εἰς ζωὴν Ci Da   καὶ τῶν δεσμῶν Vm   584 εἰς φῶς τὸ γράμμα σαφῶς μεθαρμώσας Vm   585-605 trop. desiderantur in Vm   586 σωτὴρ post ὑπομεῖνας add. Ci Da   587 ἡμᾶς] ἐμὲ Ci Da   588 καὶ τεχθῆναι καὶ γν. σαρκὶ Ci   καὶ τεχθῆναι παρεγένου σαρκὶ Da

* Φῶς τῶν ἐθνῶν, φῶς τῶν ἐν σκότει,
φῶς ὑπάρχεις ὅπερ εἶδε ποτὲ
ὁ θεοφόρος Συμεὼν
595 ἐν ἀγκάλαις σε δεξάμενος,
βοῶν· « νῦν ἀπολύεις
ἐκ τῶν δεσμῶν
τὸν δοῦλόν σου, ἀγαθέ, τοῦ θανάτου ».

* Ἡ ἀληθῶς ἡ σώφρων Ἄννα
600 τῷ ναῷ προσταττομένη
σήμερον χάριτος χρησμῶν
προφητείας ἀνεδέξατο· ⟨ὅθεν⟩
βοᾷ· « τοῦτο τὸ βρέφος
τὸν Ἰσραὴλ
605 διέθρεψεν ἐν ἐρήμῳ πεινῶντα ».

10 τριαδ. * || Ἄναρχε πάτερ τοῦ υἱοῦ σου
καὶ συνάναρχε υἱὲ τοῦ πατρὸς
καὶ θεῖον πνεῦμα τὸ συνὸν
τῷ υἱῷ καὶ ἐκ πατρὸς προϊόν,
610 Τριὰς ἡ ἐν μονάδι,
σῶσον ἡμᾶς
δοξάζοντάς σε Θεὸν κατ᾽ οὐσίαν.

θεοτ. * Χαῖρε, πύλη ἀδιόδευτε·
χαῖρε, βάτε ἀκατάφλεκτε·
615 χαῖρε, ἡ ῥάβδος Ἀαρών·
χαῖρε, ὄρος ἀλατόμητον·
χαῖρε, θεοτόκε,
ἐλπὶς ἀρραγὴς
καὶ τεῖχος τῶν ἐπὶ σοὶ πεποιθότων.

592-612 trop. desunt in Ci Da 602 ὅθεν ipse scripsi 608 συνὼν Amph. Vm 609 τῷ υἱῷ καὶ προϊὼν ἐκ πατρὸς Vm προϊὼν Amph. 613-619 θεοτ. om. Vm Da 615 χαῖρε ἡ στάμνος ἡ χρυσῆ Ci

ᾠδὴ ζ΄. *Τρεῖς παῖδες ἐν καμίνῳ*

620 * Τὴν ἄγραφόν σου χάριν
Συμεὼν ὁ πρεσβύτατος,
ὥσπερ πλάκας νομικάς,
σωτήρ, ἐδέξατο,
ἐνδοξασθεὶς τῷ προσώπῳ
625 ὑπὲρ τὸν πάλαι Μωυσῆν
ἐπὶ τοῦ ὄρους Σινᾶ.

* Τῷ πνεύματι τὸ γράμμα
καὶ τὸν νόμον τῇ χάριτι
καὶ τοὺς τύπους μετελθὼν
630 πρὸς τὴν ἀλήθειαν
Συμεὼν ἀνεβόα
πρὸς τὸν σωτῆρα, γεγηθώς·
« νῦν ἀπολύεις με ».

* Τοῦ γράμματος τοῦ νόμου
635 ἀπολύεσθαι ηὔχετο
ὁ πρεσβύτης Συμεὼν
καὶ ἀνεβόα τῷ Χριστῷ·
« νῦν ἠλευθέρωμαι », λέγων,
« εἶδόν σε φῶς τὸ τῶν ἐθνῶν,
640 εἶδον, ἀπόλυσόν με ».

* Ἀπήλαυσε τοῦ νόμου
Συμεὼν καὶ τῆς χάριτος
τὸν ἀσώματον Θεὸν
ἀγκαλισάμενος,
645 σωματωθέντα ἀτρέπτως,
πρὸς ὃν ἠγάλλετο, βοῶν·
« νῦν ἀπολύεις με ».

---

heirm. ζ΄ EE 79, n. 111, Germani; Σι heirm. his verbis tradit: Τρεῖς παῖδες ἐν καμίνῳ / τὴν Τριάδα τυπώσαντες, / τοῦ πυρὸς τὴν ἀπειλὴν / κατεπάτησαν / καὶ ὑμνοῦντες ἐβόουν·[1] / « εὐλογητὸς εἶ, κύριε,[2] / ὁ Θεὸς τῶν πατέρων ἡμῶν » ([1] ἐβόων EE [2] κύριε deest in EE); ipsum et trop. 620-675 om. Vm Da 620 ἄγραφον] ἄχραντον Σι 621 πρεσβύτερος Σι 623 σῶτερ Ci 627-633 trop. om. Ci 634-647 trop. desunt in Σι 638 ἐλευθέρομαι Ci 639-640 ἰδοὺ γὰρ ἴδον τὸν θεὸν / νόμου καὶ χάριτος Ci 641-654 trop. om. Ci

* Ἡ ἄνανδρός σου μήτηρ
τὰ τοῦ νόμου ἐντάλματα
650 ἐξεπλήρωσε, σωτήρ,
κατὰ τὸν νόμον Μωσέως
ἀναγαγοῦσά σε, Λόγε,
ἐν τῷ καιρῷ τῶν καθαρσίων
ἐν τῷ θείῳ ναῷ.

655 * Οὐκ ἦλθες καταλῦσαι
ὁ πληρώσας τὰ νόμιμα,
ἀλλ' ἐπέστης τῷ ναῷ
ὁ τοῦ ναοῦ ἁγιασμὸς
καὶ ἐπεγνώσθης πρεσβύτῃ,
660 ὁ προφανεὶς τῷ Μωυσῇ
ἐν τῷ τῆς βάτου πυρί.

* Ἡ ἄχραντος παρθένος,
ὁ ναὸς ὁ ἀμόλυντος,
τὸν δεσπότην τοῦ παντὸς
665 καὶ τοῦ ναοῦ ἐν τῷ ναῷ
κατὰ νόμον προσάγει,
ὅπως ἐργάσηται ναοὺς
τοὺς δεξαμένους αὐτόν.

τριαδ. * Τὴν ἄναρχον Τριάδα
670 ὀρθοδόξως ὑμνήσωμεν·
αὕτη γὰρ ἡμᾶς ἐκ πλάνης
ἐλυτρώσατο
καὶ διὰ τοῦτο βοῶμεν·
« εὐλογητὸς εἶ, ὁ Θεός,
675 ὁ τῶν πατέρων ἡμῶν ».

652 σε deest in Σι 655-668 trop. desiderantur in Σι 657 ναῷ] λαῷ Ci 658 ἁγιασμὸς] δημιουργὸς Ci 659 καὶ ἐγνώσθης σωτήρ με Ci 662-675 troparia desunt in Ci

655 Matth. 5,17 660-661 Ex. 3,2 667 I Cor. 3,16

εἱρμὸς ἄλλος. *Ὡς χρυσὸς ἐν χωνευτηρίῳ*
οἱ παῖδες ἐν καμίνῳ
ἐδοκιμάζοντο
καὶ ἀνεδείχθησαν φαιδροὶ
5 *οὐκ ἐν τῷ χωνεύεσθαι,*
ἀλλ' ἐν τῷ φυλάττεσθαι,
οὐκ ἐν τῷ φλογίζεσθαι,
ἀλλ' ἐν τῷ δροσίζεσθαι
καὶ ψάλλειν ἀπαύστως·
10 *« εὐλογητὸς εἶ, κύριε,*
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

* Κατὰ νόμον τὸν ὑπὲρ νόμον,
ὡς νόμου νομοθέτην,
ἡ ἀπειρόγαμος,
ἀναγαγοῦσα ἐν τῷ ναῷ,
680 τῷ πρεσβύτῃ ἔλεγεν·
« δέχου, ἱερώτατε,
p. 11 τὸν τοῦ νόμου || κύριον
καὶ τὸ φῶς τῆς χάριτος
καὶ σκίρτα, προφῆτα·
685 ἰδοὺ γὰρ εἶδες σήμερον
τὸν Χριστὸν ὁραθέντα σαρκί ».

* Ὁ ναὸς τῷ ναῷ προσφέρει
τὸν κτίστην τῶν αἰώνων
καὶ νομοδότην Θεόν,
690 τὸν νηπιάσαντα σαρκὶ
καὶ ἀνακαινίσαντα
τοὺς νόμους τῆς φύσεως
καὶ αὔξησιν σώματος
οὐκ ἀπαξιώσαντα,

heirm. ἄλλος odes ζ' EE 72, n. 102, Andreae; ipsum heirm. et troparia 676-774 om. Σι 3-11 vv. om. Ci 5-8 οὐκ ἐν τῷ φλογίζεσθαι / ἀλλ' ἐν τῷ δροσίζεσθαι / οὐκ ἐν τῷ χονεύεσθαι / ἀλλ' ἐν τῷ φυλάττεσθαι Vm 9 ψάλλειν] μέλπειν Vm Da 11 v. om. Vm 677 νομοδότην Vm νομοθέτης Da 679 προσαγαγοῦσα Ci Da ἐν om. Ci τῷ om. Vm Da 682 τοῦ] προ Vm 686 τῷ χριστῷ et in margine dextro τὸν χριστὸν Ci σαρκὶ] σοι Vm 693 καὶ] κἂν Da 694 v. om. Da

695 ἡ τοῦτον τεκοῦσα,
καθάπερ γράφων ἔλεγεν
ὁ Μωυσῆς ἐν τῷ νόμῳ ποτέ.

* Παρθενίαν, παιδοποιίαν
ἡ ἄχραντος παρθένος
700 συνεισενέγκατο
ἐν τῷ ναῷ τῷ νομικῷ,
τὴν μὲν ὡς ἀσύλητον
μετὰ τόκον ἔχουσα,
τὴν δὲ ὡς ἀπείρανδρος
705 ἀλοχεύτως φέρουσα
καὶ ἐγκαυχωμένη,
« Θεόν », ἐβόα, « ἔτεκον
ἐν σαρκὶ τὸν ἐν κόλποις πατρός ».

* Συμεὼν ἱερὲ πρεσβῦτα,
710 τὸν κτίστην τῶν αἰώνων
ἐν ταῖς ἀγκάλαις σου
ὑποδεξάμενος σαρκί,
ἀπόθες τοῦ γράμματος
νῦν τὴν παλαιότητα
715 καὶ τὴν ἐκ τοῦ πνεύματος
δέχου ἀνακαίνισιν·
ἡ χάρις γὰρ ἦλθε
καὶ πᾶς ὁ νόμος ἤργησε
τοῦ Χριστοῦ ἐνδημήσαντος.

720 * Ἐν ἀγκάλαις τὸν πάντων κτίστην
δεξάμενος ἐσκίρτα
ἐν τῷ ναῷ Συμεὼν
καὶ ἐβόα πρὸς αὐτόν·
« νῦν μὲν ἠλευθέρωμαι
725 τοῦ ζυγοῦ τοῦ γράμματος,

---

695 τοῦτον ἡ τεκ. Da 697 ὁ om. Ci Vm Da 698-752 troparia desiderantur in Vm 702 τὴν μὲν γὰρ ὡς ἄσυλον Ci ὡς om. Da 704 ἀπείρανδρον Ci Da 707 θεῷ Ci Da 709 ἱερεῦ Ci 715 καὶ τὴν τοῦ πατρὸς Ci καὶ τὴν τοῦ πνεύματος Da 719 Χριστοῦ] θεοῦ Ci Da 720 τὸν κτ. πάν. Da 722 ὁ ἱερὸς συμεὼν Ci 723 ἀνεβόα Ci Da

---

713-716 Rom. 7,6

αὐτὸς δέ, φιλάγαθε,
πρὸς τὴν ἐν τῷ πνεύματι
ζωὴν μετανάστην
ἀπόλυσόν με, δέομαι,
730 ὁ Θεὸς τῶν πατέρων μου ».

* Ὁ πρεσβύτης νῦν ἐν προφήταις
ὁρᾶται προφητεύων
διὰ τοῦ πνεύματος
πρὸς τὴν παρθένον καὶ φησίν·
735 « οὗτος κεῖται, πάνσεμνε,
εἰς πτῶσιν καὶ ἔγερσιν
καὶ ἀντιλεγόμενον
σημεῖον τῆς πίστεως
καὶ σοῦ δέ, παρθένε,
740 ῥομφαία διελεύσεται
τὴν ψυχὴν τῇ σταυρώσει αὐτοῦ ».

* Τὴν ὀγδόην αὐτὸς ἡμέραν
ἡγίασας τὴν σάρκα,
περιτεμνόμενος
745 ἐν τῷ βαπτίσματι τῷ σῷ,
τὴν περιτομήν, Χριστέ,
τῆς ἐν σοὶ σαρκώσεως
καὶ τῇ ἀναστάσει σου
φαιδρύνας τὴν ἔνδοξον
750 ὀγδόην ἡμέραν,
δι' ἧς ἑβδόμη ἤργησεν,
ὁ αἰὼν τῆς παρούσης ζωῆς.

τριαδ. * Τὸν πατέρα, υἱὸν καὶ πνεῦμα,
Τριάδα παναγίαν,
755 πιστοί, δοξάσωμεν,

---

726 φιλάνθρωπε Ci Da 727 τῷ deest in Da 730 μου] ἡμῶν Ci Da 731-752 trop. om. Ci 740 διέλθοιεν Da 743 [illegible]άσας Da 745 νόμου ὑπάρχων πληρωτῆς Da 747 ἀντικαταλλάξας μοι Da 748 καὶ] ἐν Da 749 ἔνδοξον] μέλλουσαν Da 751 ἑβδόμην Amph. Da 753-774 trop. desunt in Da

---

735-741 Luc. 2,34-35 742-747 Luc. 2,21; Philip. 3,5

τὴν ἐν μονάδι συμφυῶς
εἰς μίαν συντρέχουσαν
οὐσίαν καὶ δύναμιν
καὶ ἴσην ὑπάρχουσαν
760 φύσει καὶ θεότητι,
αὐτὴν προσκυνοῦντες,
« εὐλογητὸς εἶ », κράζομεν,
« ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

θεοτ. * Ὡς τεκούσῃ ἀφράστῳ λόγῳ
765 τὸν κύριον τῆς δόξης,
παρθένε ἄχραντε,
p. 12 || « χαῖρέ » σοι κράζομεν ἀεί,
« νύμφη ἀπειρόγαμε·
χαῖρε, Θεοῦ τράπεζα·
770 χαῖρε, πόλις ἔμψυχε
καὶ ὄρος τὸ ἅγιον,
σκηνὴ καὶ νεφέλη,
ναὸς καὶ βάτος ἄφλεκτος
καὶ χρυσῆ στάμνος μάννα Θεοῦ ».

ᾠδὴ η'. *Τὸν ἐν φλογὶ τοῖς παισὶ τῶν Ἑβραίων*

775 * Ὁ ἱερὸς Συμεὼν ἐν ἀγκάλαις
σὲ τὸν σωτῆρα ὑπεδέξατο χαίρων
καὶ ἡ Ἄννα χαίρουσα ἀνθωμολογήσατο
τῷ ἀναδειχθέντι εἰς ἀνακαίνισιν πάντων.

* « Ἦλθε Χριστός, ἦλθεν ἡ ἀφθαρσία,
780 ἦλθε τὸ φῶς τῶν ἐθνῶν, ἦλθεν ἡ σωτηρία,
ἦλθεν ἡ ἀλήθεια, ἦλθεν ὁ Θεὸς ἡμῶν »
Συμεὼν ὁ πρέσβυς τῷ Χριστῷ ἀνεβόα.

---

763 v. om. Ci ἡμῶν om. Vm 764-774 θεοτ. om. Ci 764 τεκοῦσαν Amph. 767 κράζωμεν Vm ἀεὶ] ἁγνὴ Vm 771 χαῖρε ὄρος ἅγιον Vm
heirm. η' EE 78, n. 110, Germani; ipsum et trop. 775-786 tantum Amph. praebet

* Μωσαϊκοῦ προαπήλαυσας νόμου
καὶ τῆς ἐν γράμματι νομικῆς καὶ σκιώδους
785 λατρείας, μακάριε, ἀλλ' ἀπόλαβε χαίρων
τὸν τῆς ἀληθείας καὶ τῆς χάριτος Λόγον.

εἱρμὸς ἄλλος. *Τὸν ἐπὶ θρόνου Χερουβὶμ*
ἐποχούμενον
καὶ ἀσιγήτως ὡς Θεὸν
δοξαζόμενον,
5 *ἱερεῖς ὑμνεῖτε,*
λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

* Τὸν νομοδότην ἐν ναῷ
ἡ ἀπείρανδρος
κατὰ τὸν νόμον ἱερῶς
790 προσηγάγετο
καὶ ταῖς τοῦ πρεσβύτου
ἀγκάλαις ἀνετίθη,
Χριστὸν ἀνευφημοῦσα.

* Χρηματισθεὶς ὁ Συμεὼν
795 τὸν ἐρχόμενον
κατηξιώθη ἐν σαρκὶ
Θεὸν δέξασθαι
καὶ πιστῶς ἐβόα·
« εἶδόν σε τὸν σωτῆρα·
800 διὸ ἀπόλυσόν με ».

* Μετὰ τῆς Ἄννης Συμεὼν
εὐηρέστησε
τῷ εὐεργέτῃ καὶ Θεῷ
χρησμοδούμενος·
805 διὸ προεφήτευσε
τὸ βρέφος τῆς Μαρίας
Θεὸν εἰς τοὺς αἰῶνας.

---

heirm. ἄλλος odes η' EE 72, n. 102, Andreae; heirm. et troparia 787-828 in Vm Da Σι desiderantur 7 εἰς πάντας Ci 792 ἀνατίθη Ci 794-807 trop. desunt in Ci

* Ἀγάλλου, σκίρτα, Συμεών,
ἱερώτατε·
810 τὸν γὰρ Θεὸν τοῦ Ἰσραὴλ
ἐποχούμενον
γηραιαῖς ἀγκάλαις
ὡς βρέφος ὑπεδέξω
τὸν ἕνα τῆς Τριάδος.

815 * Σὲ τὸν δοτῆρα τῆς ζωῆς
ὑπεδέξατο
ἐν ταῖς ἀγκάλαις Συμεὼν
ἀγαλλόμενος
καὶ πρὸς τὴν ἐκεῖθεν
820 ζωὴν εὐθὺς ἀπῆρεν
ἐκ γῆς μεταναστεύσας.

* Προετοιμάζου, Συμεών,
πρὸς τὴν ἔξοδον·
τῶν ἐνταφίων γὰρ καιρὸς
825 νῦν ἐφέστηκε
καὶ βοᾷ σοι· « δεῦρο
πρὸς τὴν ἀγήρω λῆξιν,
δεῦρο πρὸς τοὺς πατέρας ».

εἱρμὸς ἄλλος. *Τὸν ἐξ ἀνάρχου τοῦ πατρὸς γεννηθέντα*

* Ἐν τῷ ναῷ τὸν τοῦ ναοῦ
830 κατὰ νόμον ἡ παρθένος Θεὸν
ἀναγαγοῦσα,
ἀπέδωκε βρέφος

---

824 γὰρ] ὁ Ci 826 βοᾷ σοι] ἐβόα Ci 828 σου post πατέρας add. Ci heirm. ἄλλος odes η′ EE 79, n. 111, Germani; in Vm Da Σι heirm. integer invenitur: Τὸν ἐξ ἀνάρχου τοῦ πατρὸς / γεννηθέντα υἱὸν καὶ Θεὸν [1] / καὶ ἐπ' ἐσχάτων ἐκ τῆς θεοτόκου / σάρκα ἐνδυσάμενον / ὡς τέλειον ἄνθρωπον / καὶ Θεὸν ἐκ τοῦ Θεοῦ [2] / ὑμνεῖτε, εὐλογεῖτε / καὶ ὑπερυψοῦτε [3]: ([1] γεν. πρὸ αἰώνων Θεὸν EE Da [2] καὶ Θεὸν ἀληθινὸν EE Da Σι [3] αὐτὸν εἰς τοὺς αἰῶνας add. EE Da) 829 τὸν τοῦ ναοῦ] τῷ νομικῷ Vm 831 ἀνάγουσα Amph. 832 ἐπέδωκεν Da

τῷ πρεσβύτῃ σήμερον,
βοῶσα· « δέχου Θεόν,
835 ὃν ἰδεῖν πρὸ τελευτῆς
προσηύχου καὶ κατεῖδες,
ὡς ἐχρηματίσθης,
σαρκὶ ἐπιφανέντα ».

* Σὲ τὸν ποιμένα καὶ ἀμνὸν
840 τῷ πατρί σου καλλιέρημα,
ὡς ἱερεῖον
ἐπέδωκε βρέφος
ἡ παρθένος, λέγουσα·
« ἀπόλαβε, Συμεών,
845 τὸν τοῦ Μωσέως Θεόν,
τὸν ἐν νόμῳ καὶ προφήταις
προκεκηρυγμένον
υἱόν μου καὶ Θεόν μου ».

p. 13 * ‖ Ὡς ὑπερούσιος Θεὸς
850 οὐσιώθη τὸ ἡμέτερον
ὑπερουσίως
ἐκ σοῦ, θεοτόκε,
οὐκ ἐκστὰς τοῦ εἶναι Θεός,
ἀλλ' ἄνθρωπος γεγονώς,
855 ἔμεινεν ὅλος Θεός,
ἀφύρτως ἡνωμένος
καὶ σῴζει τὸ γένος
ἡμῶν ταῖς σαῖς πρεσβείαις.

* Τὸν προανοίξαντα Θεὸν
860 τῆς παρθένου τὴν ἁγίαν νηδὺν
καὶ γεννηθέντα

---

833 σήμερον] λέγουσα Ci τῷ ἱερῷ Vm 834 ἀπόλαβε συμεὼν Ci Θεὸν] χριστὸν Vm 835 ἰδὼν Da 836 καθ'ἴδες Da 837 ὡς] ὃν Vm 838 ἐπιφανέντι Amph. ἐπιφανέντος Da 839 καὶ ἀμνὸν] τὸν καλὸν Ci Da ἢ ἀμνᾶς Vm 840 τοῦ πατρός σου καλλιέργημα Ci τοῦ πατρός σου καλλιέρημα Da 841 ἡ θεοτόκος Ci Da 842 προσήγαγεν βρέφος Ci Vm Da 843 ἡ παρθένος] τῷ πρεσβύτῃ Ci Vm Da 845 τοῦ μ. τὸν θ. Vm μωϋσέως Da 846 ἐν om. Ci Vm Da 848 . . . θεόν σου Da 849-858 trop. deest in Ci Vm Da 849-888 trop. om. Σι 861 γεννηθῆναι Da

ἐκ ταύτης ἀφράστως,
ἅγιον ἁγίων ὁρῶν
ὁ ἅγιος Συμεών,
865 ὑπεδέξατο βοῶν·
« ἐλύθην τῶν δεσμῶν μου·
εἶδον γὰρ τὸ φῶς σου,
σωτήρ, ἀπόλυσόν με ».

* Τὸν προεκθέμενον Μωσῇ
870 τὸν γραπτὸν νόμον ἐν ὄρει Σινᾷ
ὁ ὑπὸ νόμον
δεξάμενος πρέσβυς
κατὰ νόμον σήμερον,
τὸ γράμμα τὸ νομικὸν
875 εἰς πνεῦμα ζωοποιοῦν
ἑώρα, μεταβαίνων
ἐκ τῆς ἐπικήρου
ζωῆς πρὸς τὴν ἀγήρω.

* Τὸν εὐδοκήσαντα σαρκὶ
880 ἐκ παρθένου γεννηθῆναι Θεὸν
καὶ ὑπὸ νόμον
ἀνθρώπων ἀχθῆναι,
σήμερον δεξάμενος
ὁ ὅσιος Συμεὼν
885 ἐν ἀγκάλαις γηραιαῖς,
ἐβόα εὐλογῶν σε,
ὃν πᾶσα κτίσις
ὑμνεῖ ἐπιφανέντα.

τριαδ. * Πατέρα ἄναρχον Θεὸν
890 καὶ συνάναρχον Θεὸν τὸν υἱὸν

---

τὸν βασιλέα καὶ δεσπότην Χριστὸν
ἐδέξατο κραυγάζων·
50 « νῦν ἀπολύεις τὸν δοῦλόν σου ».

Ἀξιόχρεον ὕμνον
[illegible]
παρθένε θεοτόκε,
ἡ κτραταιὰ καὶ σκέπη τοῦ γένους ἡμῶν.

ᾠδὴ δ'. *Τῆς σῆς ἐπὶ γῆς παρουσίας, Χριστὲ ὁ Θεός,*

55 * Αἱ τάξεις τῶν ἀγγέλων κατεπλάγησαν
ἐν ταῖς ἀγκάλαις τοῦ πρεσβύτου θεασάμεναι
τὸν σὺν πατρὶ καὶ πνεύματι
ὑμνούμενον ὡς υἱὸν καὶ Θεὸν ἡμῶν.

39-46 trop. MR III, 460; 39-42 trop. deest in De Πj Πl 39 ἡ om. MR 40 ἡ μεμ. MR 41 ἀνθομολογείτω MR Mf 44 ὁ τοῦ ναοῦ γὰρ νῦν ἐπ. θεὸς Πj Πl νῦν post γὰρ add. MR Mf 45 ποιήσας Mf 46 τοῦ ἁγίου ... MR 47-50 trop. deest in MR De Mf Πj Πl 51-54 MR Mf Πj Πl alterum θεοτ. tradunt, inc. Τὴν θεομήτορα παρθένον· 52 κράζωμεν De 54 καὶ om. De post odem γ' Mf refert: Κάθισμα. Ἦχος δ'. *Κατεπλάγη Ἰωσήφ* Νηπιάζει δι' ἐμὲ ὁ παλαιὸς τῶν ἡμερῶν MR III, 481

heirm. δ' EE 104, n. 146, Germani; in De Mf heirm. integer invenitur, MR autem dissimile heirm. praebent qui inc. Τοὺς οὐρανοὺς ἡ ἀρετή σου κατεκάλυψε = EE 104, n. 146, Germani, cuius metro strophae minime aptantur 55-58 trop. MR III, 461 55 ἐξεπλάγησαν MR De Mf Πj Πl 57 σὺν] καὶ Mf 58 ὑμνούμενον ὡς deest in Ci ὡς om. De post v. 58 MR Mf hoc trop. inserunt cuius initium sonat Τὸ ἡμῶν ἀτελὲς οἰκειούμενος

---

43 Apoc. 11,19 45-46 I Cor. 6,19 52 Luc. 1,28

* Ὡς βρέφος ἐν ἀγκάλαις δεχόμενος
60 καὶ Θεὸν ἐν πνεύματι θεώμενος
ὁ Συμεὼν σωτήριον
τοῦ κόσμου τὸν Χριστὸν ἀνεκήρυττεν.

* Μωσέως τιμιώτερος γέγονας
τοῦ δεξαμένου τὸν νόμον ἐν τῷ ὄρει Σινᾷ,
65 ὅτι Χριστὸν τὸν κύριον
ἀγκάλαις σου, ὦ πρεσβῦτα, ἐβάστασας.

Εὐφραίνου, Συμεών, τέρπου, προφῆτα·
ἐχρηματίσθης γὰρ ἰδεῖν ὃν ὑπεδέξω σαρκὶ
καὶ νῦν ἰδὼν μετάβηθι
70 πρὸς τὴν ζωὴν τὴν αἰώνιον.

Ὁ ναός σοι ἀνέῳγε, παρθένε,
τὰ τῶν ἁγίων ἅγια καὶ ὑπεδέξατο σὲ
τὸ τῶν ἁγίων ἅγιον
βαστάζουσαν, Ἰησοῦν τὸν Θεὸν ἡμῶν.

θεοτ. 75 * Ἡ Ἄννα προφητεύουσα, παρθένε,
τὸν ἐκ τῆς μήτρας σου Θεὸν ἀνηγόρευσεν·
διὸ ἀπαύστως πρέσβευε
σωθῆναι, θεογεννῆτορ, τοὺς δούλους σου.

ᾠδὴ ε'. *Ὁ ἀνατείλας τὸ φῶς*

* Νόμου ὑπάρχων δοτὴρ
80 ἐπειθάρχησας νόμῳ,
τὸ γράμμα καταλύσας
ἔδωκας τὴν χάριν σου,
Ἰησοῦ υἱὲ τοῦ Θεοῦ.

59-62 trop. MR III, 462; idem trop. deest in Mf 59 εἰσδεχ[illegible]νος Πj Πl 60 ἐν] τῷ MR ἐν τῶ Πj Πl θεούμενος De 61 ὁ]καὶ Ci [illegible]-66 trop. MR III, 462; idem trop. om. De Πj Πl 64 τὸν om. MR Mf [illegible] om. MR Mf 67-74 trop. om. MR De Mf Πj Πl 72 τὰ τῶν ἁγίων ἅγια [illegible]πεδέξαντο Ci 74 βαστάζουσα Ci 75-78 θεοτ. MR III, 462 75 παρθένε [illegible] τὸ μέλλον MR De Mf Πj Πl 76 προανηγόρευσε MR De Mf Πj Πl 77 διὸ [illegible]' ἧς De 78 θεοτόκε De θεομῆτορ MR Mf Πj Πl

heirm. ε' EE 104, n. 146, Germani 79-83 trop., quod in H[illegible]. 41 ed. deest in MR De Mf 81 καταργήσας Πj Πl Hann. 82-83 Χριστ[illegible], τὸ φῶς / Ἰησοῦ σωτὴρ ἡμῶν Hann. 83 χριστὲ τὸ φῶς ἡ ἀλήθεια Πj Πl

* Ἐν τῇ τοῦ νόμου σκιᾷ
85 τὸν τῆς χάριτος Λόγον
τρανῶς ἐχρηματίσθη
Συμεὼν ὁ δίκαιος,
σωματικῶς τὸν Χριστὸν δεξάμενος.

* « Οὗτος εἰς πτῶσιν πολλῶν
90 καὶ ἀνάστασιν κεῖται·
|| εἰς πτῶσιν τῶν ἀπίστων
καὶ πιστῶν ἀνάστασιν »
ὁ Συμεὼν ἄρτι προεφήτευσεν.

Ἐν τῷ ναῷ ἡ ἀμνὰς
95 τὸν ἀμνὸν καὶ ποιμένα
προσφέρει κατὰ νόμον,
ὃν χερσὶ δεξάμενος
ὁ Συμεὼν ἄρτι ἀπολύεται.

* Θεογεννῆτορ ἁγνή,
100 τὸν υἱόν σου δυσώπει
λυτρώσασθαι κινδύνων
καὶ πάσης περιστάσεως
τοὺς σὲ πιστῶς ἀνυμνοῦντας, ἄχραντε.

ᾠδὴ ς´. *Ὡς Ἰωνᾶν τὸν προφήτην*

* Ἐχρηματίσθη ὁ πρέσβυς
105 μὴ θανεῖν πρὶν ἰδεῖν τὸν σωτῆρα Χριστόν·
ἀγκάλαις δὲ σήμερον φέρει

84-93 troparia MR III, 462 89 πολλῶν] φησιν MR De Mf Πj Πl 91 τῶν] μὲν Πj Πl 93 ἄρτι om. Πj Πl 94-98 trop. om. MR Πj Πl 94 ἀμνὰς] δι᾽ ἡμᾶς Mf 98 συμ. ἀπολ. Mf 99-103 θεοτ. MR III, 462 99 Θεοκυῆτορ MR De Mf 103 τοὺς σὲ δοξάζοντας, Θεοτόκε ἄχραντε MR; idem om. Πj Πl τοὺς σὲ πιστῶς ἀνυμ. ἁγνὴ Mf
heirm. ς´ EE 103, n. 145, Joannis; in De Mf heirm. integrum habeas 104-108 trop. MR III, 463; idem om. Πj Πl 104 Πρεσβύτης MR 105 De ἴδει σωτῆρα] Δεσπότην MR 106 ἐν ἀγκ. De

84 Hebr. 10,1 89-90 Luc. 2,34 104-105 Luc. 2,26 106 Luc. 2,27

καὶ τοῦτον προδεικνύει
παντὶ λαῷ Ἰσραήλ.

* Θεοχαράκτους μὲν πλάκας
110 Μωυσῆς τὰς τοῦ νόμου ἐδέξατο,
νῦν δὲ Συμεὼν ὁ πρεσβύτης
αὐτὸν τὸν ἐν τῷ νόμῳ
προφητευθέντα σαρκί.

* Τὸν ποιητὴν τῶν αἰώνων
115 ὁ πρεσβύτης, ὡς βρέφος δεξάμενος,
Θεὸν προαιώνιον ἔγνω
καὶ φῶς ἐθνῶν καὶ δόξαν
τοῦ Ἰσραὴλ τὸν Χριστόν.

* Νῦν Συμεὼν προφητεύει
120 καὶ ἡ Ἄννα ἀνθομολογεῖται Θεῷ,
ὁ μὲν τῇ μητρὶ καὶ παρθένῳ,
ἡ δὲ τῷ ἐκ παρθένου
ἀναδειχθέντι σαρκί.

θεοτ. Ὦ μακαρία κοιλία,
125 ἡ ὁλόπλουτος δόξα τοῦ γένους ἡμῶν,
ἐν σοὶ τὸ κεφάλαιον ὅλον
ἐπράχθη, κύριος,
τῆς σωτηρίας ἡμῶν.

ᾠδὴ ζ´. *Ὁ τῶν πατέρων Θεός,*
μὴ καταισχύνῃς ἡμᾶς

* Ὁ ἐνοικήσας Θεὸς
130 ἐν γαστρὶ τῆς παρθένου,

107 προσδεικνύει MR 108 παντὶ τῷ λαῷ Ἰσραὴλ MR 109-113 trop., quod in Hann. 41 ed., deest in MR De Mf 110 ὁ Μωσῆς τὰς τοῦ νόμου ἐδ. Hann. 113 σαρκὶ] Θεὸν Hann. 114-118 trop om. Πj Πl 114-123 trop. MR III, 463 115 πρέσβυς Mf 118 τὸν Χριστὸν] τῷ λαῷ De 120 καὶ] νῦν MR De Mf ἀνθομολογεῖ τῷ θεῷ MR Mf θεὸν Ci 122-123 ἡ δὲ τὸν ... / ἀναδειχθέντα De 123 σαρκὶ] χριστῷ Πj Πl 124-128 MR De Mf θεοτ. inc. Ὦ μακαρία κοιλία πόθεν, Πj Πl autem dissimile θεοτ. praebent 127 κύριε Ci
heirm. ζ´ EE 103, n. 145, Joannis; heirm. integrum tradunt De Mf
heirm. et trop. odis ζ´ in Πj Πl dissimilia sunt 129-138 trop. MR III, 464 129-133 trop. deest in De

109-110 Ex. 34,4 117-118 Luc. 2,32 120 Luc. 2,38 124 Luc. 11,27

ἐν ἀγκάλαις Συμεών,
ὥσπερ ἐν θρόνῳ πυρίνῳ,
σήμερον ἐνθρονίζεται.

* Σὺ τὸ γεῶδες ἡμῶν
135 προσλαβόμενος, Λόγε,
ἐνηπίασας σαρκὶ
καὶ νομικῶν καθαρσίων
μετέσχες ὥσπερ νήπιος.

* Ἦλθε τὸ φῶς, ὁ Χριστός,
140 τοῦ Ἰσραὴλ ἡ δόξα,
5 τὰ τοῦ γράμ‖ματος πληρῶν
καὶ τὰ τοῦ πνεύματος νέμων
ὡς ἀμφοτέρων κύριος.

* Ἡ σώφρων Ἄννα ἡμῖν
145 προφητεύει τὸ μέλλον·
καὶ προλέγει μυστικῶς
τὴν τῶν ἐθνῶν προσδοκίαν
καὶ Ἰσραὴλ τὴν λύτρωσιν.

Χαῖρε, παστὰς νοητὴ
150 τοῦ ἡλίου τῆς δόξης,
οὗ κατεῖδε Συμεὼν
τὴν ὑπερκόσμιον δόξαν
καὶ χαίρων ἠγκαλίζετο.

* Χαῖρε, ἡ ἄσπιλος γῆ,
155 ἡ τὸν Λόγον ἐκ μήτρας
δίχα σπέρματος ἀνδρὸς
σεσαρκωμένον τεκοῦσα,
ἡ σκέπη τῶν ψυχῶν ἡμῶν.

---

136 καὶ νηπιάσας σαρκὶ De 138 νήπιον MR De 139-143 trop. om. MR; idem trop. in Hann. 41 ed. 139 ὁ Χρ.] τῶν ἐθνῶν Hann. 141 τὰ] τὸ De 142 καὶ τὰ τῆς χάριτος νέμων De Mf Hann. 144-148 trop. MR III, 464 149-153 trop. in MR De Mf deest 153 ἠκαλίζεται Ci 154-158 θεοτ. MR III, 464; ipsum θεοτ. om. Mf 154 ἄσπιλος] ἄσπορος MR De 155 ἐν μήτρα De

---

139 Joh. 12,46 141-142 II Cor. 3,6

ᾠδὴ η'. *Τὸν βασιλέα Χριστόν,*
ὃν ὡμολόγησαν

* Τὸν σαρκωθέντα Θεὸν
160 βρέφος γενόμενον
καὶ δουλεύσαντα νόμῳ
καὶ κατὰ νόμον σήμερον
ἀχθέντα ἐν ναῷ,
δεῦτε, κατίδωμεν πάντες
165 γηραλέαις σήμερον
χερσὶν ἀγκαλισθέντα.

* Τὸν δι' ἡμᾶς καθ' ἡμᾶς
νῦν ἀνασχόμενον
ὑπὸ νόμον γενέσθαι,
170 ἵνα τοῦ νόμου πάντας
ἀπαλλάξῃ τοῦ γραπτοῦ,
πάντα τὰ ἔργα, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

175 * Ἀγάλλου νῦν, Συμεών,
σκίρτα καὶ χόρευε
καὶ συνευφράνθητι, Ἄννα,
ὅτι παρθένος τίκτουσα
προσφέρει τῷ ναῷ

---

heirm. η' EE 104, n. 146, Germani; heirm. integer in Mf 159-166 trop., quod in Hann. 42 ed., om. MR De Mf 159 Θεὸν] Χριστόν Hann. 160-166 ὃν ὑπεδέξατο / Συμεὼν ὁ πρεσβύτης / ἐν ταῖς ἀγκάλαις σήμερον ἐν τῷ ἱερῷ / πάντα τὰ ἔργα ὑμνεῖτε καὶ ὑπερυψοῦτε / εἰς πάντας τοὺς αἰῶνας Hann. 163 ἐν] τῷ Πj Πl 165 γηραλαῖοι σήμερον Ci γηραλαίαις Πj Πl 167-174 trop. MR III, 465; idem om. Πj Πl 168 βρέφος γενόμενον MR Mf, cf. v. 160 169 γενέσθαι] ἀχθέντα MR Mf, cf. v. 163 172-174 πάντα: Ci πάντα τὰ ἔργα De πάντα τὰ ἔργα / ὑμνεῖτε ὡς κύριον MR πάντα τὰ ἔργα ὑμνεῖτε Mf 175-182 trop. in Hann. 42 ed.; MR Mf diversum trop. praebent quod inc. Ἰδών σε φῶς νοερὸν ipsum trop. his verbis tradit De: Ἔνδον σε φῶς νοερόν, / φῶς ἀνεκλάλητον / ὁ Συμεὼν ἀγκάλαις / ὑπεδέξατο βοῶν· / « πάντα τὰ ἔργα ». 175 Ἀγ.] Εὐφραίνου Πj Πl 177 καὶ om. Hann. 179-182 post ναῷ De exhibet: πάντα τὰ ἔργα

---

161 Rom. 7,25 167-171 I Cor. 9,20, Gal. 4,4

180 ὃν εὐλογοῦσι τὰ ἔθνη
φῶς εἰς ἀποκάλυψιν
ἐθνῶν τὸν ζωοδότην.

* Τὸν πρὸ αἰώνων Θεόν,
τὸν εὐδοκήσαντα
185 δι' ἡμᾶς νηπιάσαι
καὶ ἐν χερσὶ δεχθῆναι
τοῦ πρεσβύτου Συμεών,
πάντα τὰ ἔργα, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
190 εἰς πάντας τοὺς αἰῶνας.

* Τὸν βασιλέα Χριστόν,
ὃν ἡμῖν ἔτεκεν
ἡ παρθένος Μαρία
καὶ μετὰ τόκον ἔμεινεν
195 παρθένος ἁγνή,
πάντα τὰ ἔργα, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Μεγαλύνομεν πάντες*

* Ὁ πλαξὶν ἐγχαράξας
200 τὸν τοῦ γράμματος νόμον
χερσὶν ἀγκαλίζεται
πρεσβύτου ὡς νήπιον
καὶ ἁγιόγραφον ἡμῖν
ὑπαγορεύει νόμον, τὸ εὐαγγέλιον.

---

182 Χριστὸν τὸν Θεὸν Hann. 183-190 trop. MR III, 465; idem om. De Πj Πl 188, 196 Ci Mf varie contrahunt orationem, ὡς κύριον post ὑμνεῖτε add. MR 191-198 θεοτ. MR III, 465; idem trop. in De in margine scriptum est 195 ἁγνή] ἀληθῶς De 198 χριστὸν τὸν θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας Πj Πl

heirm. θ' EE 104, n. 146, Germani; heirm. in De integer invenitur. Omnia trop. odis θ' in MR III, 466 edita sunt 201 ἀγκαλίζεσθαι Ci 202 νήπιος Πj Πl 204 νόμῳ De

---

181-182 Luc. 2,32 199-200 Deut. 10,3

205 * Σήμερον ἐν τῷ ναῷ
Συμεὼν ὁ πρεσβύτης
ἀγκάλαις ἐδέξατο
Χριστὸν τὸν Θεὸν ἡμῶν
καὶ ἐβόησε λέγων·
f. 25ᵛ 210 ‖ « νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα ».

* Συμεὼν θεοδόχε,
τοῦ κυρίου αὐτόπτα,
καὶ νόμου καὶ χάριτος
ἀρχὴ καὶ συμπέρασμα,
215 μνείαν ποιοῦ καὶ ἡμῶν
τῶν ἐκτελούντων τὴν ἁγίαν σου κοίμησιν.

θεοτ. * Χαῖρε, πάνσεμνε ἁγνή,
παρθενίας καύχημα,
μητέρων τὸ στήριγμα,
220 ἀνθρώπων βοήθεια
καὶ τοῦ κόσμου ἡ χαρά,
Μαρία, μήτηρ καὶ δούλη τοῦ σωτῆρος Χριστοῦ.

205-216 troparia desunt in De post v. 210 MR aliud trop. proferunt quod inc. Τῶν ἀγγέλων αἱ τάξεις quod in De post v. 204 invenies 211 Σὲ συμεὼν θεοδόχε Ci 216 τῶν τιμώντων τὴν σεπτήν σου μετάστασιν MR τῶν ἐκτελούντων τὴν σεπ. σου μετ. Mf Πj Πl 217-222 θεοτ. in MR III, 466 et AHG I, 268 invenimus; Πj Πl aliud θεοτ. tradunt 219-222 καὶ τοῦ κόσμου ἡ χαρά, / Μαρία μήτηρ καὶ δούλη / τοῦ σωτῆρος χριστοῦ· / αὐτὸν δυσώπει ὑπὲρ τῶν ψυχῶν ἡμῶν MR 220 v. deest in Mf 222 Μαρία . . . τοῦ θεοῦ ἡμῶν AHG Mf

---

205-210 Luc. 2,27-29.

3 FEBR.

CANON IV (2)

IN SANCTUM SYMEONEM

Patm. 793 = Πj, ff. 18v-20
Patm. 857 = Πl, ff. 26v-30
Athen. 862 = Gd, ff. 342v-345

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἄισομαί σοι, κύριε ὁ Θεός μου,*

1-5 Ἄισομαί σοι, κύριε ὁ Θεός μου,
.... = MR III, 460

6-10 Τὸ γράμμα κατήργηται τὸ τοῦ νόμου
.... = Ci 6-10

11-15 Ἀγάλλου, πρεσβῦτα καὶ θεοδόχε,
.... = Ci 11-15

16-20 Ἀγκάλαις δεξάμενος ὁ πρεσβύτης
.... = Ci 1-5

ιτ. 21-25 Τὴν ἄχραντον μητέρα σου εἰς πρεσβείαν
.... = Ci 26-30

⟨Μηνὶ τῷ αὐτῷ γ'⟩. Ἡ κοίμησις τοῦ ἁγίου Συμεὼν τοῦ θεοδόχου... Ὁ κανὼν Πj; Μηνὶ τῷ αὐτῷ γ'. Τοῦ ἁγίου καὶ δικαίου Συμεὼν τοῦ θεοδόχου... Ὁ κανὼν Πl; Μηνὶ Φεβρ. α' ... Ὁ κανὼν τῆς Ὀκτωήχου καὶ ὁ προεόρτιος καὶ τοῦ ἁγίου. Ὁ κανὼν προεόρτιος Gd. In Gd duos canones, alternatis odis, invenimus: priorem in Profestum Hypapantis, quem proferimus, alterum in sanctum Tryphonem qui inc. Τῆς ὄντως ἐνθέου ἐν οὐρανοῖς = MR III, 460-467. Idem cd. canonis Profesti Hypapantis tantum odem α' conservat, cum odes γ'-θ' ex altero canone inc. Ἀγκάλας ἁπλώσαντες (= Anth. II, ρπγ'-ρπς') proveniunt.

heirm. α' EE 103, n. 146, Germani; In Πj vv. heirm. α', γ', ς', η' et θ' posterior manus in margine scripsit, sed in Πl heirm. α', γ', ς', η' et θ' integros invenimus. Gd troparia odis α' hoc ordine tradit: 4, 2, 3, 5.

ᾠδὴ γ'. *Ἐν κυρίῳ Θεῷ μου*

26-29 Ἀνοιγέσθω ὁ ναὸς
.... = Ci 43-46

30-33 Νῦν παρῆλθον αἱ σκιαὶ
.... = Ci 35-38

34-37 Ὑποδέχου, Συμεών,
.... = Ci 31-34

θεοτ. 38-41 Τὴν θεομήτορα παρθένον
.... = MR III, 461

ᾠδὴ δ'. *Τῆς σῆς ἐπὶ γῆς*

42-45 Αἱ τάξεις τῶν ἀγγέλων ἐξεπλάγησαν
.... = Ci 55-58

* Ὁ κτίσας τοὺς αἰῶνας νηπιάζει σαρκί,
ὃν γηραλέαις Συμεὼν χερσὶν ἐδέξατο
f. 20 βοῶν· « νῦν || ἀπολύεις με
ὅτι εἶδόν σε, δέσποτα ».

50-53 Ὡς βρέφος ἐν ἀγκάλαις εἰσδεχόμενος
.... = Ci 59-62

θεοτ. 54-57 Ἡ Ἄννα προφητεύουσα τὸ μέλλον
.... = Ci 75-78

---

heirm. γ' EE 104, n. 146, Germani 30 Νῦν παρῆλθεν ἡ σκιὰ Ci

In Πl post odem γ' legimus: Κάθισμα. Ἦχος γ'. *Τὴν ὡραιότητα* Ἐκ τῆς παρθένου σε σωματωθέντα, Χριστέ... = MR III, 493

heirm. δ' EE 104, n. 146, Germani (Τῆς σῆς ἐπὶ τῆς γῆς Πj Πl) 46-49 trop. in Hann. 41 ed. 47 γηραλέοις Πj γηραλαίοις Πl 48 τὸν δοῦλόν σου post με add. Hann. 49 δέσπ.] κύριε Hann.

---

47 Luc. 2,28 48-49 Luc. 2,29-30

ᾠδὴ ε΄. *Ὁ ἀνατείλας τὸ φῶς*

58-62 Νόμου ὑπάρχων δοτὴρ
.... = Ci 79-83

63-67 Ἐν τῇ τοῦ νόμου σκιᾷ
.... = Ci 84-88

68-72 Οὗτος εἰς πτῶσιν πολλῶν
.... = Ci 89-93

* Ἡ σώφρων Ἄννα, Χριστέ,
ἀνυμνοῦσα τὴν χάριν
75 τῆς σῆς οἰκονομίας,
ἀνθωμολογεῖτό σοι
ἐν τῷ καιρῷ τῆς σῆς ἀναδείξεως.

οτ. * Τὴν τοῦ ἀγγέλου φωνὴν
ἀσιγήτως ἡ κτίσις
80 προσφέρει σοι, παρθένε·
« χαῖρε, μῆτερ ἄχραντε
Ἰησοῦ τοῦ υἱοῦ τοῦ Θεοῦ ».

ᾠδὴ ϛ΄. *Ὡς Ἰωνᾶν τὸν προφήτην*

83-87 Θεοχαράκτους μὲν πλάκας
.... = Ci 109-113

88-92 Νῦν Συμεὼν προφητεύει
.... = Ci 119-123

οτ. * Ἡ ἀφράστως τεκοῦσα
τὸν σωτῆρα τοῦ κόσμου, Χριστὸν τὸν Θεόν,

---

heirm. ε΄ EE 104, n. 146, Germani 73-77 trop. in Hann. 41 ed.
78-82 θεοτ. MR II, 688
heirm. ϛ΄ EE 103, n. 145, Joannis 93-97 θεοτ. TR, 57 93 Ἡ
ἀνεκφράστως τεκοῦσα TR

73-77 Luc. 2,36-38 78-82 Luc. 1,28-34

95 αὐτὸν δυσωποῦσα μὴ παύσῃ
f. 21 τὸ γένος || ἅπαν σῶσαι
τῶν ἀνυμνούντων σε.

ᾠδὴ ζ΄. *Ὁ ἐν τῷ ὄρει / Μωυσεῖ*

Ὁ τῷ πρεσβύτῃ
δωρησάμενος χάριν
100 καὶ τούτου
οὐρανὸν τὰς ἀγκάλας δείξας,
εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὁ εὐδοκήσας
105 ταῖς χερσὶ τοῦ πρεσβύτου
δεχθῆναι
ὡς ἐν θρόνῳ τῆς ἄνω δόξης
εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

110 Ἡ σώφρων Ἄννα
νῦν ἀνθομολογεῖται
ἐλθόντι
τῷ σωτῆρι κατὰ τὸν νόμον·
« εὐλογητὸς εἶ — κράζουσα —
115 ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

θεοτ. * Ὁ ἐν τῇ μήτρᾳ
τῆς παρθένου οἰκήσας
καὶ ταύτην
οὐρανῶν πλατυτέραν δείξας,
120 εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

---

heirm. ζ΄ EE 104, n. 146, Germani 114 κράζουσα] κύριε Π1
116-121 θεοτ. MR I, 131

98-103 Luc. 2,25-28 104-109 Luc. 2,25-28 110-115 Luc. 2,36-38

ᾠδὴ η′. *Τὸν βασιλέα Χριστὸν*

122-129 Τὸν σαρκωθέντα Θεὸν
.... = Ci 159-166

1v ‖ Ἀγάλλου νῦν, Συμεών,
130-137 .... = Ci 175-182

Τῷ ἱερῷ τοῦ Θεοῦ
Ἄννα προσμένουσα
140 προσευχαῖς καὶ νηστείαις,
ἐκδεχομένη λύτρωσιν
ἀεὶ τῷ Ἰσραήλ,
αὕτη αὐτόπτως ἰδοῦσα
ἀνθωμολογεῖτό σοι,
145 Χριστέ, τῷ ζωοδότῃ.

οτ. 146-153 Τὸν βασιλέα Χριστὸν
.... = Ci 191-198

ᾠδὴ θ′. *Μεγαλύνομεν πάντες*

154-160 Ὁ πλαξὶν ἐγχαράξας
.... = Ci 199-204

161-166 Τῶν ἀγγέλων αἱ τάξεις
.... = MR III, 466

167-172 Συμεὼν θεοδόχε,
.... = Ci 211-216

173-178 Σήμερον ἐν τῷ ναῷ
.... = Ci 205-210

heirm. η′ EE 104, n. 146, Germani — 145 χριστῶ Π1
heirm. θ′ EE 104, n. 146, Germani

138-145 Luc. 2,37-38

θεοτ. Ἐπαξίως σοι πάντες
180 ἐπιβοῶμεν τὸ « χαῖρε »,
παρθένε πανύμνητε,
ὅτι μόνη γέγονας
τροφὸς καὶ μήτηρ τῆς ζωῆς
καὶ θεοτόκος καὶ φύλαξ τῶν ψυχῶν ἡμῶν.

180 Luc. 1,28

5 FEBR. *CANON* V

IN SANCTAM AGATHAM MARTYREM CATANIAE

Synaxarium, 445: Ἄθλησις τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Ἀγάθης. Αὕτη ἦν ἐκ πόλεως Πανόρμου, τῆς κατὰ Σικελίαν, ὥρᾳ σώματος καὶ ἀφθορίᾳ καὶ κάλλει ψυχῆς διαλάμπουσα καὶ πλούτῳ κομῶσα. Κατὰ δὲ τοὺς χρόνους Δεκίου τοῦ βασιλέως, Κυντιανῷ τῷ ἡγεμόνι προσάγεται καὶ πρῶτον μὲν παραδίδοται Ἀφροδισίᾳ τινὶ γυναικὶ τοῦ μετατεθῆναι παρ' αὐτῆς τῆς εἰς Χριστὸν πίστεως. Ὡς δὲ κραταίως αὐτῆς εἴχετο καὶ μᾶλλον ἐπεθύμει τὸν διὰ μαρτυρίου θάνατον ὑποστῆναι, αἰκίζεται σφοδρῶς καὶ τὸν μαστὸν ἐκκόπτεται, ὃν ἐπιστὰς ὁ πανεύφημος ἀπόστολος τοῦ κυρίου Πέτρος ἐν τῇ φρουρᾷ κατέστησεν ὑγιῆ. Εἶτα ἐπ' ὀστράκου κεκομμένου σύρεται καὶ πυρὶ καταφλέγεται καὶ βληθεῖσα ἐν τῇ φυλακῇ τὸ πνεῦμα τῷ Θεῷ παρέθετο. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς τῷ ὄντι ἐν τῷ Τρικόγχῳ.

Crypt. Δ.α. XVI = Ci, ff. 29v-34v
Vat. gr. 1515 = Vr, ff. 188-191

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ὕμνοις Ἀγάθην τὴν φερώνυμον στέφω.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί,*
ᾄσωμεν

Ὕμνοις, πιστοί,
σήμερον τῆς καλλιμάρτυρος
Ἀγάθης, δεῦτε, ἅπαντες
ἐγκωμιάσωμεν

Ci, alternatis odis, duos canones praebet: prior canon, opus Theophanis, acrostichidem profert: Τὴν θείαν Ἀγάθην ἀγαθοῖς μέλψωμεν ἐν ὕμνοις, inc. Τῶν ἀγαθῶν πρώτην αἰτίαν ποθήσασα = MR III, 507; alter Ἕτερος κανὼν τῆς ἁγίας Ἀγάθης φέρων ἀκροστιχίδα· Ὕμνοις Ἀγάθην ..., quem huc referimus
Οἱ κανόνες τῆς ἑορτῆς εἰς η' καὶ τῆς ἁγίας εἰς δ'. Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Ὕμνοις Ἀγάθην ... Vr
heirm. α' EE 37, n. 51, Cosmae 2 τῆς καλλιμ. σήμερον Vr

5 τὴν πανέορτον μνήμην,
γηθόμενοι προθύμως,
ὅτι δεδόξασται.

Μόνον Χριστόν,
ἄριστε, τὸν τῶν ψυχῶν ἐραστὴν
10 ἵνα κερδίσῃς, ἔσπευσας
γῆς ἀπαρνήσασθαι
περιφάνειαν πᾶσαν
καὶ τούτῳ νυμφευθεῖσα
πόθῳ συνήρμοσαι.

15 Νεανικῶς
πύρωσιν τῶν τῆς σαρκὸς ἡδονῶν
τῷ τῆς ἁγνείας ὕδατι
ἀπομαράνασα,
μαρτυρίου δὲ λύθρῳ
20 σαυτὴν καταλαμπρύνας,
Ἀγάθη ἔνδοξε.

θεοτ. Νῦν ἀληθῶς,
δέσποινα, φύσις ἡ πάλαι βροτῶν,
φθορᾷ κατολισθήσασα,
25 μεταποιεῖται νῦν
θειοτέραν πρὸς δόξαν
τῷ ξένῳ τοκετῷ σου
σὲ μακαρίζουσα.

f. 30 ‖ ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ ἐν θαλάσσῃ

Ὄλβον ἐπίκηρον
30 ὡς διολλύμενον

---

9 τὸν om. Vr 19 μαρτυρίῳ δὲ πάλιν Vr 20 καταλαμπρύνας pro καταλαμπρύνασα Ci καταλαμπρύνῃς Vr 23 φύσιν Vr 25 μεταπεποίηται Vr νῦν om. Vr
heirm. β' EE 41, n. 55, Joannis; odem β' om. Vr

8-10 Philip. 3,8 16 I Petr. 4,12

ἡ καλλιμάρτυς, φίλτρῳ
τῶν αἰωνίων προθεῖσα,
Ἀγάθη λέλοιπεν
καὶ τῆς κάτω πατρίδος
35 τὴν ἄνω προσφυῶς
ὡς νομιμώτατον ἀεὶ
ἀντηλλάξατο θείαν
μητρόπολιν, τῷ Θεῷ
ἐν ᾗ συνευφραίνεται.

40 Ἰδοὺ τὸν πρόπαλαι
ὄφιν πτερνίσασα,
τὴν ἀρχηγὸν τοῦ γένους
Εὔαν, τῷ φθόνῳ νεᾶνις
νῦν καταβέβληκεν,
45 ἀνδρωθεῖσα τὸ θῆλυ
στερρότητι φρενῶν
καὶ δι' ἀθλήσεως αὐτῷ
συμπλακεῖσα γενναίως·
διὸ καὶ ὡς ἀδρανὴς
50 ὁ δόλιος πέπτωκεν.

Σὺ τὴν λαμπάδα σου
ἄσβεστον ἔσχηκας
τῆς παρθενίας ὄντως,
Ἀγάθη μάρτυς θεόφρον·
55 τῷ τῆς ἀθλήσεως
ἀντ' ἐλαίου ἀνῆψας
γὰρ αἵματι αὐτὴν
καὶ διὰ τοῦτο ὁ Χριστὸς
σὺν ταῖς πέντε φρονίμοις
60 παρθένοις σοὶ τὸν σεπτὸν
νυμφῶνα ἀνέῳγεν.

---

45 ἀνδρωθεῖσαν Ci 47 καὶ δὴ Ci 48 συμπλακεῖσαν Ci 55 τὸ Ci
57 αὐτῇ Ci 60 σὺ Ci

34-38 Col. 3,1 40-50 Gen. 3,4-13; Apoc. 12,9 51-61 Matth. 25,1-10.

θεοτ. Σοῦ τὸ μυστήριον,
ὦ μητροπάρθενε,
τῆς ἀκραιφνοῦς λοχείας
65 πᾶσαν ἐξίστησι φρένα
καὶ καταπλήττει βροτῶν
ὡς παράδοξον ὄντως·
μὴ γνοῦσα γὰρ τὸ πῶς
τὸν φυτουργὸν ἐγκυμονεῖς
70 καὶ βαστάζεις ἀγκάλαις
τὸν πᾶσαν δρακί, ἁγνή,
τὴν κτίσιν κατέχοντα.

f. 30v || ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*

Ἀλήκτοις προσευχαῖς
τῷ Θεῷ σχολάζουσα,
75 Ἀγάθη,
πρὸς ἄμυναν τοῦ τυράννου
σὺ θεόθεν κεκραταίωσαι,
τοῖς τῆς πίστεως ὅπλοις τοῦτον βάλλουσα.

Γνωστοὶ καὶ προσφιλεῖς
80 ἐκ τῆς πατρίδος σε
παρεῖδον
χωροῦσαν πρὸς τοὺς ἀγῶνας,
ἀλλὰ τούτων τὴν κακόνοιαν
ἀκαρπίας φυτῷ στηλιτεύεις, σεμνή.

85 Ἀεὶ πρὸς τὸν Θεὸν
ταῖς σαῖς ἐντεύξεσιν,
Ἀγάθη,
περίσῳζε ἀλωβήτους
τοὺς τὴν μνήμην σου τελοῦντας πιστῶς
90 ἐξ ἐχθρῶν πάσης βλάβης, καθικέτευσον.

---

71 πᾶσα Ci
heirm. γ' EE 39, n. 53, Cosmae 74 τω ὡσχολ[illegible] Ci 77 κεκραταίωσο Vr 84 σεμνή] ἁγνή Vr 90 ἐχθρῶν] ἐθν[illegible] Vr ἱκετεύομεν Vr

---

73-74 I Cor. 7,5 84 Jud. 12

θεοτ. Ἀνύμφευτε ἁγνή,
ἡ λόγῳ τέξασα
τὸν Λόγον
ἀνθρώπων εἰς σωτηρίαν,
95 τοὺς κυρίως θεοτόκον σε
~~καταγγέλλοντας~~ φρούρει ταῖς πρεσβείαις σου.

Κάθισμα.

Ἦχος πλ. α'. *Τὸν συνάναρχον Λόγον*

Τοῦ σταυροῦ ταῖς ἀκτῖσι καταυγασθεῖσα
....

Ἄλλο.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Εὐγενείᾳ τῶν τρόπων περικαλλὴς
ἐγνωρίσθης παρθένος, βίον σεμνὸν
καὶ πρὸ τῆς ἀθλήσεως
κεκτημένη, θεόπνευστε,
5 ὑπελθοῦσα δὲ πόθῳ,
σεμνή, τὸ μαρτύριον
ὡραιώθης πλέον
f. 31 καὶ νύμφη ‖ πανάμωμος
ὤφθης τοῦ οὐρανίου
10 βασιλέως, Ἀγάθη,
μαστοῦ τὴν ἀφαίρεσιν
καὶ πυρὸς τὴν κατάφλεξιν
ἀνδρικῶς ὑπομείνασα·
πρέσβευε ⟨Χριστῷ τῷ Θεῷ
15 τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου⟩.

Κάθ. GIB, 152
heirm. ἄλλου καθ. MR I, 68

Ὅμοιον.

Ὡς στολὴν ἀφθαρσίας τὸν λογισμὸν
μυστικῶς ἐστολίσω τῷ βαπτισμῷ
20 καὶ λίαν ἀνέλαμψας
ψυχικὴν ὡραιότητα
καὶ ἐν αὐτῷ τῷ ἄνθει
τῆς ἀναμορφώσεως
τὴν κατ' ἐχθρῶν διήνυσας
25 ἀήττητον ἄθλησιν·
ὅθεν τοὺς στεφάνους
ἐκ Θεοῦ ἐκομίσω,
ἀθλοῦσα τῷ σώματι
καὶ νικῶσα τῷ πνεύματι
30 Χριστῷ, μάρτυς θεόνυμφε·
πρέσβευε ⟨Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου⟩.

Ὅμοιον.

35 Τοῖς τῶν αἱμάτων σου ῥείθροις, μάρτυς Χριστοῦ,
....

---

18 λογισμὸν] στολισμὸν Ci   ultimum κάθ. MR VI, 85 in memoriam s. Euthymiae 11 Jul.   Vr post odem γ' praebet: Κάθισμα. Ἦχος πλ. δ'. ***Τὴν σοφίαν.*** **Τῇ ἀγάπῃ τρωθεῖσα τοῦ Ἰησοῦ, / ἑαυτὴν ἐπηγγείλω ταῖς ἀρεταῖς, / ὡς Θέκλα ἡ ἔνδοξος, / καὶ αὐτῷ ἠκολούθησας / καὶ βασάνων στρεβλώσεις / οὐκ ἔπτηξας, ἔνδοξε, / καὶ θηρίων ὀδόντας / καὶ πῦρ οὐκ ἐπτόησαι· / ὅθεν καὶ τυράννου / τὸν ὑψαύχενα τῦφον / εἰς γῆν κατακλίνασα, / τὸν Βελίαρ ἐνέκρωσας, / Ἀγάθη πανένδοξε, / πρέσβευε Χριστῷ τῷ ⟨Θεῷ / τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι / τοῖς ἑορτάζουσι πόθῳ / τὴν ἁγίαν μνήμην σου⟩**; idem κάθ. in memoriam s. Faustae, 6 Febr. tradit. Ci; cf. canonem VI

Τῆς ἑορτῆς ⟨Ἦχος δ'.⟩ *Ὁ ὑψωθεὶς ἐν τῷ ⟨σταυρῷ⟩* Χρηματισθεὶς **παρὰ Θεοῦ, θεοδόχε, / θανατωθῆναι μηδαμῶς πρὶν ἴδῃς / τὴν σάρκωσιν τὴν ἄρρητον / Χριστοῦ τοῦ Θεοῦ, / ἔμεινας ἐν τῷ σαρκίῳ / μέχρι γήρως ἐσχάτου / καὶ τοῦτον ἐθεώρησας / καὶ χερσὶν ἠγκαλίσω, « νῦν ἀπόλυσον - κράζων - / σῶτερ, σὸν δοῦλον ἰδόντα τὴν χάριν σου ».**

31v || ᾠδὴ δʹ. *Ὑμνῶ σε·*
ἀκοὴν γάρ, κύριε,

Θωπεῖαι
οὐδαμῶς παρέπεισαν
μεμηνότων κατὰ τοῦ κτίστου,
100 τοῖς ἀψύχοις σέβας τε,
μάρτυς σεμνή, εἰδώλοις νέμειν,
Θεῷ τὴν λατρείαν δὲ προσήγαγες,
δι' ὃν καὶ πρὸς βασάνους ηὐτομόλησας.

Ἡ θείῳ
105 κραταιῶς τῆς πίστεως
θεμελίῳ ἑδραιωθεῖσα
μεμένηκας ἄσειστος
καὶ ἄτρωτος, Ἀγάθη, πᾶσαν
ἐχθρῶν πρὸς παράταξιν τῇ κρείττονι
110 ἐλπίδι τῶν μελλόντων πτερουμένη τὸν νοῦν.

Νηπίων
ἀμαθῶν ψελλίσματα
τῆς ἀσέμνου Ἀφροδισίας
λελόγισαι, πάνσεμνε,
115 ἀπατηλὰς τῶν λόγων ῥήσεις,
καὶ δὴ πλοῦτον ταύτης τὸν φθειρόμενον
ὡς σκύβαλα ἡγήσω δι' εὐσέβειαν.

οτ. Τὴν ῥάβδον
Ἰεσσαὶ βλαστήσασαν
120 ἐκ τῆς ῥίζης, σέ, θεοτόκε,
ἄνθος Χριστὸν φύσασαν

---

heirm. δʹ EE 38, n. 51, Cosmae 97 Θωπείαις Ci 98 παρέπεισεν Ci
100 τε] σε Vr 107 ἄσειστος] ἄτρωτος Vr 108 ἄτρωτος] ἄσειστος Vr
πάσης Vr 109 ἐχθρὸν Vr τῇ] τῷ Vr 115 ἀπατηλοὺς Ci 120 σε Vr
121 φύσασαν] φέρουσαν Vr

111-117 cf. LATYŠEV, *Menologii*, I, 15⁹⁻²⁸

104-106 II Tim. 2,19 109-110 Hebr. 7,19 117 Philip. 3,8
118-121 Is. 11,1; Rom. 15,12

δίχα σπορᾶς τὴν σωτηρίαν,
φωναῖς ἀσιγήτοις ἀναμέλπομεν
πιστοί, καταλλαγέντες τῷ Θεῷ διὰ σοῦ.

f. 32 ᾠδὴ εʹ. *Ὁ τοῦ φωτὸς χορηγὸς*

125 Ἠχρειωμένον τὸν νοῦν
τῇ ἀφεγγεία τῶν παθῶν, κύριε,
ταῖς τῆς σοφῆς
Ἀγάθης εὐκτίαις
καθάρας, τῷ φωτὶ
130 τῶν σῶν ἐντολῶν με
ὁδήγησον, δέομαι.

« Νῦν ἀπειλαὶ τῶν δεινῶν
καὶ τῶν βασάνων αἱ ποιναὶ κάμψαι μου
τὸν λογισμὸν
135 οὐκ ἂν δυνηθεῖεν
θυσίας καὶ σπονδὰς
ξοάνοις προσφέρειν »,
Ἀγάθη, ἐκραύγαζες.

« Φρενοβλαβεῖτε ὑμεῖς »
140 ἀθεωτάτοις δικασταῖς ἔλεγες,
μάρτυς Χριστοῦ,
« λιπόντες τὸν κτίστην
ἀνοίας λογισμῷ
καὶ ἀπειροκάλως
145 τῇ κτίσει λατρεύοντες ».

θεοτ. Φῶς τοῖς ἐν σκότει Χριστὸς
ἐκ σοῦ ἐπέφανεν ἡμῖν, ἄχραντε,
ἀειλαμπὲς
καὶ θεογνωσίας

---

123 ἀναμέλπωμεν Ci ἀναμέλπουσι Vr
heirm. εʹ EE 38, n. 51, Cosmae 128 εὐκτείαις cdd. 133 κάμπτε Ci
138 ἐκραύγαζεν Vr 140 ἀθεωτάταις Ci 142 λιπ. τὴν κτίσιν Vr 144
καὶ ἄπειρον κάλλος Vr 147 ἐξ οὗ Vr

132-138 cf. LATYŠEV, *o.c.*, 15¹⁸⁻¹⁹

150 ἡ σύμπασα κτίσις
ἐπλήσθη· διὸ
σὺν αὐτῷ σε δοξάζομεν.

ᾠδὴ ς'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ἐμμανῶς ὁ παναίσχιστος τύραννος
32ᵛ δίκας δημο‖σίᾳ διδόναι προσέταττεν·
155 κατατρυφᾶν τοῦ κάλλους σου
ἀναισχύντως, Ἀγάθη, ἠτένιζεν.

Ῥητορεύουσα λόγοις, ἀοίδιμε,
τῆς παρὰ Θεοῦ δεδομένης σοφίας σου
πλάνης βυθὸν ἐξήλεγξας,
160 τῆς ἑλλήνων θρησκείας τὸ ἔκπτωτον.

Ὡς πολλὴν κεκτημένη, Ἀγάθη σεπτή,
πρὸς τὸν ἐν ὑψίστοις Θεὸν παρρησίαν, ἡμῖν
τοῖς σὲ τιμῶσιν αἴτησαι
τῶν πταισμάτων δοθῆναι τὴν ἄφεσιν.

σοτ. 165 Ὡς θερμὴν ἐγνωκότες προστάτιν σε
καὶ πρὸς βασιλείαν εἰσάγουσαν γέφυραν
καὶ τεῖχος ἀπροσμάχητον
καταχρέως γεραίρομεν, δέσποινα.

Κοντάκιον.

Ἦχος β'. *Τῷ Θεῷ ἀπὸ μήτρας*

Ἐν διπλῇ παρθενίᾳ καθηγνισμένη
καὶ Χριστῷ νυμφευθεῖσα ἀγαθοτρόπως,

heirm. ς' EE 34, n. 46, Joannis 153 Ἐμμανοῦς Ci παναίσχυντος Vr
156 ἠτένιζεν] οἰόμενος Vr 159 ἐξέλεξας Vr 161 σεπτὴ] σεμνὴ Vr
165 προστάτην cdd.
heirm. κοντακ. PAS I, 338

157-158 I Cor. 12,8 161-162 II Cor. 3,12; I Joh. 3,21

τοῦ μαρτυρίου πιοῦσα ποτήριον
ἀγαθοπροίκως πλημμυρεῖς χαρίσματα,
5 ἀγαθώνυμε πλούταθλε·
διὸ ὑπὲρ ἡμῶν δυσώπει.

Ἄλλο.

Ἦχος β'. *Τὰ ἄνω ζητῶν*

Ἐκ βρέφους τὴν σὴν
γινώσκων ἀγαθότητα
....

Ὁ οἶκος.

Πρὸς τό· *Τράνωσον*

Ἐκ τοῦ Θεοῦ
τὴν κλῆσιν λαβοῦσα
....

Ἕτερον.

Ἦχος δ'.

Ἡ τῆς ἀγαθότητος φερώνυμος
καὶ τῆς πίστεως ὑπέρμαχος,
ἀθλοφόρε ἔνδοξε Χριστοῦ τοῦ Θεοῦ,
f. 33 ταῖς ἱκεσίαις σου ‖ ἀγάθυνον τὸν ἐλεήμονα
5 τοῦ καταπέμψαι τὴν ἄφεσιν
τῶν πταισμάτων ἡμῶν,
ὡς λαβοῦσα τὸ βραβεῖον τῆς ἄνω βασιλείας.

secundum κοντάκ. PAS I, 642 οἶκ. ἑτέρου κοντακ. MR III, 510

3 καθ. Matth. 10,22 7 ἑτέρου καθ. Philip. 3,14

Ὁ οἶκος. *Τῇ Γαλιλαίᾳ*

Παρθενικὴν πανήγυριν
καὶ ἄφθαρτον νυμφῶνα
....

ᾠδὴ ζ′. *Εἰκόνος χρυσῆς*
ἐν πεδίῳ

Νεκρώσει μελῶν
f. 33ᵛ 170 τὴν μακραίωνα ζωήν, μάρτυς, ‖ ὠνήσω
καὶ τοῖς αἰκίσμασιν ἐκαρτέρησας
τοῦ δυσμενοῦς ἀκατάπληκτος·
ὅθεν γεγηθυῖα ἐβόας
τῷ ἀφθάρτῳ νυμφίῳ σου·
175 « εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Vr post odem ς′ refert: Κοντάκιον. Ἦχος γ′. *Ἡ παρθένος σήμερον* - Παρθενίας ἄμεμπτον / καὶ μαρτυρίου προσῆξας, / ὥσπερ προῖκα, πάνσεμνε, / τῷ ἀθανάτῳ νυμφίῳ· / ηὔφρανας τὰς τῶν ἀγγέλων χοροστασίας, / τρέψασα τὰς τῶν δαιμόνων κακοπραγίας· / διὰ τοῦτό σε τιμῶμεν / ἐν πίστει, μάρτυς Ἀγάθη πανεύφημε. Ὁ οἶκος. Ἱεροῦ φωτισμοῦ / διηνεκῶς μετέχουσα, / ὡς τῶν φώτων πατρὶ παρισταμένη, ἔνδοξε, / τοὺς τὴν φωτοφόρον καὶ θείαν σου μνήμην / ἐπιτελοῦντας νοὸς εὐθύτητι / ἁγίασον / καὶ ἐν ἀνοίξει στόματος ἔμβαλε / λόγον ἀνυμνεῖν τὴν πολιτείαν σου, / τὴν καρτερίαν, τὴν μαρτυρίαν σου, / τοὺς αἰκισμούς, / τοὺς σπαραγμούς· / διὸ ἐπέτυχες Θεοῦ / καὶ τῆς νίκης νομίμως ἀνεπλέξω τοὺς στεφάνους / ἐν πίστει, μάρτυς Ἀγάθη πανεύφημε.

Τῷ αὐτῷ μηνὶ ε′. Τῆς ἁγίας μάρτυρος Ἀγάθης.
Χαίρει σκότει δοθεῖσα φρουρᾶς Ἀγάθη,
μισοῦσα καὶ φῶς εἰ πλάνων ὄφεις βλέπει. (cf. MR III, 510; SMM, 50)
Αὕτη ἦν ἐκ πόλεως Πανόρμου τῆς κατὰ Σικελίαν . . . (cf. Synax. Eccl. CP., 445)
Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τῆς ἁγίας Θεοδούλης.
Σύνδουλον οὐκ ἔφριττε πῦρ Θεοδούλη
Θεῷ τιθεῖσα δουλικῶς τὰς ἐλπίδας. (cf. SMM, 50)
Ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων ἀπεστάλη ἐν Ἀβαρζῷ τῇ πόλει Πελάγιός τις μέλλων ποιεῖσθαι τὴν κατὰ τῶν χριστιανῶν ἐξέτασιν . . . (cf. Synax. Eccl. CP., 401, 18 Januarii)
Τῇ αὐτῇ ἡμέρᾳ. Ἡ ἐν τῷ κυρίῳ Πάσχᾳ ἀρχὴ τῆς μ′, ἤτοι Δευτέρα τῆς πρώτης ἑβδομάδος.
Ἄγουσιν ἀρχήν, Χριστέ, νηστείας δρόμου
ὦτα κλίνοις (κλίνεις cd.) σὰ τοῖς κλίνουσί σοι γόνυ.

heirm. ζ′ EE 39, n. 53, Cosmae 172 ἀκατάβλητος Vr 174 ἀφράστω Vr 175-176 cdd. varie recidunt laudem

---

169 Col. 3,5

Ὑψόθεν ἰσχὺν
ἐκομίσω, παγκλεὴς ὄντως Ἀγάθη,
τὰς ἀλγηδόνας τοῦ πανάγνου σου
180 στερρῶς ὑπήνεγκας σώματος,
γόνυ κεκλικέναι μηδόλως
τοῖς ἀψύχοις θεσπίσασα,
τῷ δὲ Θεῷ ταῖς προσευχαῖς
ἀεὶ προσψαύσασα.

185 Μαζὸν ἀφειδῶς
ὁ δεινὸς Κυντιανός, μάρτυς Ἀγάθη,
τὸν γαλακτόριον ἐκκοπῆναί σου
ἑλλήνων δήμοις προσέταξεν·
φέρεις δὲ τῶν πόνων τὸ ἄλγος
190 ἀνδρικῶς ἀναμέλπουσα,
τῷ δὲ κρατοῦντί σε Θεῷ
τὰ χαριστήρια.

θεοτ. Ὁ ἄνευ μητρὸς
ἐκ Θεοῦ μονογενὴς Λόγος ἐκλάμψας
195 πρὸς ἐπ' ἐσχάτων, δίχα τέτεκται
ἐκ γυναικὸς σωματούμενος,
ἧς καὶ μετὰ τόκον φυλάττει
τὴν νηδὺν ἀδιάφθορον·
Θεὸς γὰρ φύσεως θεσμοὺς
200 νῦν κεκαινούργηκεν.

f. 34 ᾠδὴ η′. *Κάμινος ποτὲ*
πυρὸς

Νεύσει τῆς σοφῆς
προνοίας ὑπέρτατος

---

178 παγκλεῶς Vr 180 ἀπήνεγκας Vr 183 τῶ θεῶ δὲ τὰς προσευχὰς Vr 184 ἀεὶ προσψαύουσα εὐλογητὸς Vr 185 Μαζῶν Ci 187 τῶν γαλακτοριῶν Ci τὸν γαλακτόριον Vr 190 ἀνακράζουσα Vr 191 τῶ κραταιοῦντι σε χριστῶ Vr 200 κεκαινούργηται Vr
heirm. η′ EE 34, n. 46, Joannis 202 ὑπερτάτως Vr

185-188 cf. LATYŠEV, *o.c.*, 16^{31-33} 201-208 cf. LATYŠEV, *o.c.*, 17^{26-35}

179-180 IV Mac. 16,17

πυρὸς τὴν καῦσιν διαπέφευγας,
Ἀγάθη πανόλβιε,
205 οἱ συμμύσται τοῦ τυράννου δὲ
σεισμῷ ἐπιπεπτώκασιν·
ἅπαντες τῶν ἑλλήνων
ὅθεν οἱ δῆμοι τεθάμβηνται.

Σὺ τῷ ἐραστῇ
210 Θεῷ τὴν καθαράν σου
δοξολογίαν ἐν τοῖς ῥήμασιν
ψυχὴν ἀνατέθηκας,
ὡς καὶ ζῶσα ἐν δικαίων χοροῖς
ἀεὶ ἐπαναπέπαυσαι
215 κράζουσα· « εὐλογεῖτε,
πάντα τὰ ἔργα, τὸν κύριον ».

Τίμιος ὁ σὸς
κατέναντι κυρίου,
Ἀγάθη, θάνατος γεγένηται·
220 καὶ γὰρ πρὸς τῷ τάφῳ σου
πλάκα ἄγγελος κεκόμικεν
ἐγγεγραμμένην· « νοῦν εἰς Θεὸν
ὅσιον καὶ πατρίδος
ἐκ τῶν κινδύνων τὴν λύτρωσιν ».

θεοτ. 225 Τέτοκας Θεὸν
παιδίον, ὦ παρθένε,
σάρκα ἐκ σοῦ ἀμφιασάμενον
εἰς κόσμου ἀνάπλασιν
μὴ ἐκστάντα κατ' οὐσίαν ὃ ἦν,
230 ἀλλὰ διπλοῦν ταῖς φύσεσιν
τέλειον πεφηνότα
Λόγον, Θεόν τε καὶ ἄνθρωπον.

205 τοῖς συμμήσταις Ci 213 καὶ om. Vr ζῶσαν Vr 216 v. varie recidunt cdd. 219 ὁ θάνατος Vr 228 κόσμον Ci

220-224 cf. LATYŠEV, *o.c.*, 18^{4-8}

209-212 Joh. 13,37 216-219 Ps. 115,6

f. 34 ᾠδὴ θ'. *Ἀπορεῖ πᾶσα*
γλῶσσα εὐφημεῖν

Ἐκδικήσεων
κύριος ἰσχύος τῷ κράτει
235 τὸν πανέχθιστον
τύραννον, ποτὲ θυμῷ
ἀγρίῳ βαδιοῦντα
κατὰ τῶν προσόντων κτίσεως
τῇ ἀθλοφόρῳ,
240 πρὸς ποταμίῳ ὕδατι ἔκλεισε βυθῷ
τούτου τοῖς ἐκ τῶν ἵππων
λακτίσμασι συμπνιγόμενον.

Φόβῳ καὶ πίστει
σοὶ τοὺς προσιόντας, Ἀγάθη,
245 τῶν ἀνηκέστων
ῥῦσαι ἀπειλῶν· καὶ γὰρ
Αἰτναίου πυρὸς ῥεῦσιν
μέλλουσαν τὴν πόλιν πᾶσαν πικρὰν
τῶν Καταναίων
250 ταῖς τοῦ λαοῦ λιταῖς πεπεισμένη ἐπέσχες·
ὅθεν καὶ πολιοῦχον
εἰκότως σὲ μακαρίζομεν.

Ὠχυρωμένους
θράσῃ πρὸς βαρβάρων δεικνύων
255 οὓς ᾑρετίσω,
σῶτερ, ἐφ' ἡμᾶς
ἀνδρείως βασιλεύειν,
τοὺς αἱρετικοὺς κατάβαλε

heirm. θ' EE 37, n. 49, Cosmae 236 ποτὲ om. Vr 238 κτίσεων Vr 241 τοῦτον Vr 244 σὺ Vr 245 ἀνικέστων Vr 246 καὶ om. Vr 247 ῥεύμασιν Vr 250 πεπεισμένην Ci 253 Ὀχυρωμένος Vr 254 θράσει Vr βαρβάρους Vr 255 οἷς Ci 257 δεόμεθα post βασ. add. Vr

233-242 cf. LATYŠEV, *o.c.*, 18^{13-16} 243-252 cf. LATYŠEV, *o.c.*, 18^{16-24}

233-234 Ps. 93,1 234 ἰσχύος τῷ κράτει Is. 40,26

καὶ ὀρθοδόξοις
260 τὰς ἐκκλησίας δόγμασιν ἕνωσον εἰς ἓν
σῴζων καὶ τὸν λαόν σου
Ἀγάθης θείαις ἐντεύξεσιν.

θεοτ. Ὡς θεοτόκον
πάντες δυσωποῦμεν, παρθένε,
265 μὴ ἐπιλάθῃ
δέησιν ἐν σοὶ
τῶν γνησίως πεποιθότων,
ἀλλὰ μητρικαῖς πρεσβείαις σου
πρὸς τὸν δεσπότην
270 ἐχθροῦ φθορᾶς ἐκ πάσης ἀφάρπασον ἡμᾶς,
ὅπως εὐχαριστοῦντες
σὺν τούτῳ σὲ μεγαλύνωμεν.

---

260 δόγμασιν om. Vr 262 ἀγάθη Ci 272 μεγαλύνομεν Ci μακαρίζομεν Vr

IN SANCTAM FAUSTAM MARTYREM CYZICI

Synaxarium, 447: Αὕτη ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐκ πόλεως Κυζίκου. Τυχοῦσα δὲ γεννητόρων πλουσίων καὶ εὐγενῶν, μετὰ τὴν αὐτῶν ἀποβίωσιν, ἐν πολλῇ περιουσίᾳ κατελείφθη. Οὔτε δὲ τὸ νέον τῆς ἡλικίας οὔτε ἡ τοῦ πλούτου ἀπάτη τῶν σπουδαίων αὐτὴν ἀπέστησε πράξεων, ἀλλ' ἐν ἀφθορίᾳ καὶ νηστείᾳ καὶ προσευχῇ ἑαυτὴν συνεῖχε. Τῆς δὲ περὶ αὐτὴν φήμης μέχρι τοῦ βασιλέως διαδοθείσης, ἀπεστάλη παρ' αὐτοῦ Εὐϊλάσιός τις τῶν ἐπιφανῶν τοῦ πεῖσαι αὐτὴν θῦσαι τοῖς θεοῖς ἢ μὴ πεισθεῖσαν τῷ βυθῷ τῆς θαλάσσης παραδοῦναι. Ὁ δὲ πᾶσαν πεῖραν βασάνων αὐτῇ προσαγαγών, ὡς εἶδε παραδόξως τε ἐξ αὐτῶν σωθεῖσαν καὶ θαύματα κατεργασαμένην, ἐπίστευσε τῷ Χριστῷ· καὶ αὖθις πέμπεται ἐπὶ τὸν Εὐϊλάσιον καὶ τὴν ἁγίαν μάρτυρα Μαξιμῖνος ὁ ἔπαρχος· ἀμφοτέρους δὲ δειναῖς βασάνοις ὑποβαλών, διὰ τῶν θαυματουργιῶν καὶ προσευχῶν τῆς μάρτυρος προσῆλθε καὶ αὐτὸς τῷ Χριστῷ· καὶ ἐν τῷ τηγάνῳ, ὃ κατὰ τῶν ἁγίων αὐτὸς κατεσκεύασεν, αὐθαιρέτως ἐμβάς, μετ' αὐτῶν τὸν τοῦ μαρτυρίου δρόμον διήνυσε.

Crypt. Δ.α. XVI = Ci, ff. 36-40
Crypt. Δ.α. VI = Cz, pp. 62-68
Vat. gr. 2008 = Vm, ff. 45-46v
Barber. gr. 460 = Bd, ff. 30v-32
Vat. gr. 2069 = Vb, ff. 145-147

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Φαύστας γεραίρω τῆς παρθένου τοὺς ἄθλους.
⟨ποίημα⟩ Θεοφάνους.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί,*
ᾄσωμεν

Φωταγωγὲ
Λόγε, Θεέ μου καὶ κύριε,
ἐν τῷ φωτὶ τῆς γνώσεως

Ci, alternatis odis, duos canones praebet, quorum priorem huc proferimus; alter, opus Josephi Hymnographi et in s. Bucolum dicatus, inc. Ταῖς θεϊκαῖς ἀγλαΐαις καὶ ἱεραῖς MR III, 515; nomen Θεοφάνους in margine cdd. Cz Vm Vb legitur
heirm. α' EE 37, n. 51, Cosmae

φώτισον, δέομαι,
5 τὴν ψυχήν μου τοῦ μέλψαι
ἀξίως τῆς παρϑένου
Φαύστας τὴν ἄϑλησιν.

'Αϑλητικῶς
τὴν παρϑενίαν ποϑήσασα
10 καὶ ἁρμοσϑεῖσα, ἔνδοξε
Φαῦστα, ἐκ πίστεως
τῷ ἀφϑάρτῳ νυμφίῳ,
Χριστῷ συμβασιλεύεις,
ᾧ καὶ δεδόξασαι.

15 Ὑμνητικῶς
τοὺς ἐκτελοῦντας τὴν μνήμην σου,
παρϑενομάρτυς, φύλαττε
καὶ πάσης λύτρωσαι
ἀσϑενείας καὶ λώβης,
20 πρεσβείαν ποιουμένη
ὑπὲρ ἡμῶν πρὸς Θεόν.

ϑεοτ. Σῶσον ἡμᾶς
τοὺς πεποιϑότας τῇ σκέπῃ σου
ἐκ πειρασμῶν καὶ ϑλίψεων·
25 τὸ ἀγαλλίαμα
σὺ γὰρ εἶ, ϑεοτόκε,
τῶν πίστει προσκυνούντων
τὸν ϑεῖον τόκον σου.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ ἐν ϑαλάσσῃ σώσας

36ᵛ ‖ Τὸν ἀπατεῶνα
30 ὄφιν ἐνέκρωσας

---

13 συμβασιλεις Vm 19 λώβης] βλάβης Vm
heirm. β' EE 41, n. 55, Joannis 29 ἀπαταίονα Vm ἀπαταίωνα Bd (metri causa)

29-30 Gen. 3,13

εὐσεβοφρόνως, κόρη,
διὰ τῆς σῆς καρτερίας,
Φαῦστα φερώνυμε,
Εὐλάσιον τούτου
35 τὸν λάτριν δυσμενῆ
καταπατήσασα ποσὶ
σὺν εἰδώλοις ξοάνοις·
διό σου ᾀσματικῶς
τὴν μνήμην γεραίρομεν.

40 'Αλεξητήριον
τῶν ἀλγηδόνων σε,
ἠγλαϊσμένη νύμφη,
Χριστοῦ ϑηλέων ἡ φύσις,
Φαῦστα πανόλβιε,
45 δεδεγμένη γινώσκει,
φοιτῶσά σοι φαιδρῶς
ἐν τῷ πανσέπτῳ σου ναῷ,
ἰατρείῳ ὡς ὄντι,
μεγαλοφώνως δὲ σοῦ
50 τὴν χάριν κηρύττουσα.

Στεφανηφόρον σε
ἔδειξε κύριος,
παρϑενομάρτυς Φαῦστα,
ἀγγέλοις τε καὶ ἀνϑρώποις
55 ὁ ἀκατάληπτος,
ἐν ὑψίστοις ἐν δόξῃ
παρέχων δωρεὰν
ἀνταμοιβὴν τῆς πρὸς αὐτὸν
παρακλήσεως, χάριν
60 ϑαυμάτων ξένων, ἀεὶ/
ῥωννύειν τοὺς πάσχοντας.

---

35 λάτρην cdd. 43 ϑηλείων Cz Vm Vb 46 φαιδρῶς] ϑερμῶς Cz Vm Vb
49 δέ σου Cz Vm 54 τὲ Vm 59 παρακλήσεως] ἀγαπήσεως Cz Vm Vb

---

57 Rom. 3,24

θεοτ. Γεύσεως ἄλγημα
ψυχοβλαβέστατον,
ἰὸν θανατηφόρον
65 βροτείου γένους, παρθένε,
διασκεδάσασα
τῷ σεπτῷ τοκετῷ σου
ἀντείσηξας ζωὴν
καὶ νῦν ἐκ θλίψεως χαρὰν
70 τῷ λαῷ σου παράσχου
καὶ σῶσον εἰρηνικῶς
τοὺς δούλους σου, ἄχραντε.

ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*

Εὐθάρσως ἡ ἀμνὰς
Χριστοῦ καὶ πάνσεπτος
75 παρέστη
πρὸ βήματος θηροτρόπων,
ἐν ξυρῷ ἠκονημένῳ σφοδρῶς
τὸ σαρκίον τεμνομένη δι' εὐσέβειαν.

Ῥανίσι σου σεπτῶν
80 αἱμάτων, ἔνδοξε,
ὠνήσω
τὴν ἀγήρω βασιλείαν
τοῦ νυμφίου σου Χριστοῦ τοῦ Θεοῦ,
μεθ' οὗ πάντες ἀξίως ἀνυμνοῦμέν σε.

85 Αἱμόρροιαν λυγράν,
μασθῶν τε ἄλγημα —
σκαιῶς γὰρ
γυναίοις πέφυκε τέμνειν —

---

heirm. γ' EE 39, n. 53, Cosmae 73 Εὐθάρσως pro Εὐθαρσῶς metri causa cdd. 74 καὶ] ἡ Cz Vm Vb 78 τεμνομένη] ἐκδοῦσα posterior manus correxit in Vm 84 μεθ' οὗ] διὸ Cz Vm Vb 87 σκαιὸς γὰρ Ci καὶ ὅσα Cz Vm Bd Vb 88 πέφυκε] πέφυγε Bd

---

64 Jac. 3,8 77 Ps. 51,4

καὶ ἴασαι προσιοῦσί σοι
90 ἐν τῷ θείῳ ναῷ σου, Φαῦστα ἔνδοξε.

θεοτ. Ἱλάσθητι ἡμῖν,
δέσποτα κύριε,
πρεσβείαις
ἀπαύστοις τῆς σὲ τεκούσης
95 καὶ κυβέρνησον ἡμῶν τὴν ζωὴν
f. 37 ‖ ἐν εἰρήνῃ βαθείᾳ, δυσωποῦμέν σε.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοήν

Ῥωμαλέῳ φρονήματι
ἡ θαυμαστὴ
τὸν τύραννον καθεῖλεν
100 Φαῦστα καὶ ἀπείληφεν
νίκης στέφανον.

Ὡς ὡραίαν τῷ κάλλει σε
ἀθλοπρεπῶς
Χριστὸς ὁ ἐραστής σου,
105 Φαῦστα, τοῦ νυμφῶνος
αὐτοῦ ἠξίωσεν.

Τὴν νοσοῦσάν μου ἴασαι,
μάρτυς, ψυχὴν
τῷ πλήθει τῶν πταισμάτων
110 ταῖς πρὸς τὸν Θεόν σου,
Φαῦστα, ἐντεύξεσιν.

θεοτ. Ἡ τῆς Εὔας ἀνόρθωσις
τῶν δυσχερῶν

---

89 καὶ] νῦν Cz Vm Vb 94 ἀπαύστοις] ἀφράστως Cz Vm Vb 97 Ῥωμαλαίω Ci
heirm. δ' MR III, 15; heirm. integer invenitur in Vm 100 ἀπείληφας Cz 109 πλήθει] πάθει Bd post v. 111 spatium quattuor versuum in Cz

---

101 Apoc. 6,2

ἡμᾶς παραπτωμάτων,
115 θεοτόκε, ῥῦσαι
ταῖς ἱκεσίαις σου.

37v ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγὸς*

« Σταυρὸς ἐμοὶ βοηθός » —
τῷ δικαστῇ ἡ παγκαλλὴς ἔκραζε
τὰς τῶν ξιφῶν
120 ὁρῶσα εἰδέας —
« διὸ καὶ ἀρραγὴς
ἐν ταῖς σαῖς βασάνοις
ὑπάρχω καὶ ἄτρωτος ».

Πεπληρωμένος θυμοῦ
125 ὁ ἀπηνέστατος βοᾷ τέμνεσθαι
τὴν τοῦ Χριστοῦ
ἄσπιλον ἀμνάδα
τῷ ξίφει ἀφειδῶς,
ἡ δὲ ὡς ἀδάμας
130 τοὺς πόνους ὑπέφερεν.

Ἀξιωθεῖσα χαρᾶς
τῆς αἰωνίου πρὸς Θεόν, πρέσβευε,
Φαῦστα σεμνή,
τοὺς ἐπιτελοῦντας
135 τὴν μνήμην σου πιστῶς
ῥυσθῆναι ἐκ πάσης
ὀργῆς καὶ κακώσεως.

.θεοτ Ῥῦσαι ἡμᾶς ὁρατῶν
καὶ ἀοράτων δυσμενῶν, δέσποινα,
140 τὴν κραταιὰν

---

heirm. ε' EE 38, n. 51, Cosmae 118 τῷ δικαστῇ ἡ παγκλεεῖς κράζουσα Bd 123 ὑπάρχων Bd 130 ὑπήνεγκεν Bd 137 κακώσεως] κολάσεως Bd 139 δυσμενῶν] ἐξ ἐχθρῶν Cz Vm Vb νῦν ἐχθρῶν Bd

---

129 Am. 7,8

ὀρέγουσα χεῖρα
ἡμῖν τοῖς ταπεινοῖς·
εἰσάκουσον, μήτηρ
Θεοῦ, τῆς κραυγῆς ἡμῶν.

f. 38 ᾠδὴ ϛ'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

145 Θαυμαστῶς ἐναθλοῦσα τῷ πρίονι
τοὺς ὑπασπιστὰς τῶν εἰδώλων ἐνέκρωσας,
Φαῦστα· διὸ ἀπήμαντος
τοῦ Χριστοῦ τῇ δυνάμει ἑώρασο.

Εὐσεβείας ὑπέρμαχος δέδεικται
150 ὁ τῆς ἀθυμίας τὸ πρὶν καταθύμιος,
Φαῦστα, τοῖς θείοις ἔργοις σου
διὰ σοῦ φωτισθεὶς Εὐϊλάσιος.

θεοτ. Νεκρωθέντας ἡμᾶς ἐξανέστησας
τῇ παρακοῇ, θεοτόκε, τῷ τόκῳ σου
155 καὶ νῦν δεινῶς ἐν θλίψεσι
συσχεθέντας ταχὺ χαροποίησον.

f. 38v Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Τῇ ἀγάπῃ τρωθεῖσα τοῦ Ἰησοῦ
καὶ ἀστράψασα ὅλη ταῖς ἀρεταῖς,
ὡς Θέκλα ἡ ἔνδοξος,
τούτῳ ἐξηκολούθησας,

---

143 μῆτερ Cz Vm
heirm. ϛ' EE 34, n. 46, Joannis 150 ἀθυμίας] ἀσεβείας Cz Vm Vb 153 Νεκρωθέντας ἡμᾶς παραπτώμασιν Bd 154 τῇ παρακοῇ θεοτόκε ἀνέστησας Bd
heirm. καθ. MR II, 19; ipsum κάθ. Vm ante canonem et Bd Vb post odem γ' exhibent; necnon idem κάθ., in s. Agatham dicatum, in cod. Vr invenitur, cf. canonem V

---

145 II Regn. 12,31

5 καὶ βασάνων στρεβλώσεις
οὐδόλως κατέπτηξας
καὶ θηρῶν ὀδόντας
καὶ πῦρ οὐκ ἐνάρκησας·
ὅθεν τῶν τυράννων
10 τὸν ὑψαύχενα τῦφον
εἰς γῆν κατεάξασα,
τὸν Βελίαρ ἐνέκρωσας,
μάρτυς Φαῦστα πανένδοξε,
πρέσβευε Χριστῷ τῷ Θεῷ
15 τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου.

ᾠδὴ ζ΄. *Εἰκόνος χρυσῆς*

Ὁ πρὶν μανικῶς
ἐποτρύνας τὰς βασάνους τῇ ἁγίᾳ
τῇ ταύτης πίστει νῦν συνδέδεται
160 καὶ συναθλεῖ Εὐΐλάσιος,
σκεῦος ἐκλογῆς χρηματίσας
καὶ ἐκβοῶν χαριστήρια·
« εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

165 « Ὑψοῦτε Θεόν »,
καθὼς ψάλλει ὁ Δαυΐδ, « καὶ προσκυνεῖτε »
ἐβόας, μάρτυς, δι' εὐσέβειαν,
ὡς Δανιὴλ ἐμβληθεὶς θηρσὶ
πρὸς τοὺς ἀπειθεῖς, « οὐ τῇ ῥώμῃ
170 διασῴζομαι », ψάλλουσα·

---

14 post Χριστῷ cetera καθ. om. Bd 15 post πταισμάτων cetera καθ. om. Ci Cz 16-17 καὶ ταῖς ψυχαῖς ἡμῶν / τὸ μέγα ἔλεος Vb 17 v. om. Vm
heirm. ζ΄ EE 39, n. 53, Cosmae 159 ἐν ταύτῃ Bd 162 καὶ om. Vm Bd ἐκβοῶν praepositio in Cz erasa est 163, 171 cdd. varie recidunt orationem 166 αὐτὸν post προσκυνεῖτε add. Cz 169 οὐ] σου Ci 170 διασώζων με μέλπουσα Ci Bd

---

161 Act. 9,15 165-166 Ps. 98,5

« εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Τηγάνῳ πυρὶ
ἐκβρασθέντι ἐμβληθεῖσα, Φαῦστα μάρτυς,
175 σὺν τῷ συνάθλῳ καὶ ἐν πνεύματι
f. 39 Εὐϊλασίῳ || σεπτῷ σου υἱῷ,
ὑπὲρ οὗ ὁ τοῦτο προστάξας
τὰ θαυμάσια βλέπων σου
πεπιστευκὼς καὶ συναθλεῖ
180 καὶ συνδοξάζεται.

θεοτ. Ὁ μέγας Δαυΐδ
κιβωτόν σε προσφωνεῖ τοῦ ἁγιάσματος
καὶ ἀλατόμητον καὶ κατάσκιον
ὁ Ἀμβακοὺμ ὄρος ἔφασκεν,
185 ἄχραντε, ὁ εἷς τῆς Τριάδος
ἐξ οὗ Λόγος σεσάρκωται
εἰς σωτηρίαν τῶν βροτῶν,
θεογεννήτρια.

ᾠδὴ η΄. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ὑπὸ τῆς ἄνωθεν ῥοπῆς
190 Μαξιμῖνος ἐλλαμφθείς, Εὐϊλασίῳ
συναρίθμιος πίστει
ἀθλήσας δέδεικται,
τῇ Φαύστᾳ
μητρὶ ὡς ἐν πνεύματι
195 ἑπόμενοι ἅμα
ἀδελφοφρόνῳ πίστει.

Σεσοφισμένη τηλαυγῶς
τοὺς πρὶν θῆρας ἡμεροῖς ὥσπερ ἀρνία

---

174 ἐκβρασθέντι ἐνεβλήθης μάρτυς φαύστα Cz ἐμβρασθέντι Vm 177 ὑπὲρ οὗ] ὕπαρχος Vm
heirm. η΄ EE 35, n. 47, Joannis 195 ἑπομένη Ci Bd

181-182 Ps. 131,8 183-184 Hab. 3,3

καὶ δι' ἄθλων προσφέρεις
200 Θεῷ θυσίαν δεκτήν,
παρθένε
Φαῦστα μάρτυς ἔνδοξε,
μεθ' ὧν σε ὑμνοῦμεν
ἀξιοχρέως πάντες.

205 Ἀναγεννήσει μυστικῇ
οὓς ὠδίνησας υἱούς, παρθενομάρτυς,
δι' ἀθλήσεως φέρεις
ὡς δύο θείου φωτὸς
f. 39ᵛ φω‖στῆρας
210 τὸν κόσμον φωτίζοντας
σὺν σοὶ ταῖς ἀκτῖσιν
ἀστράπτοντας ἐνθέως.

θεοτ. Θαῦμα! πῶς τίκτεις ἀπαθῶς
ὃν οὐκ ἔσπειρε πατὴρ καὶ μένεις σῶα
215 μετὰ τόκον παρθένος;
Θεὸς ὁ παῖς γὰρ ὁ σός,
Μαρία,
ὃν πάντες δοξάζομεν
καὶ ὑπερυψοῦμεν
220 εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Λελαμπρυσμένη παρέστης
τῷ νυμφίῳ σου, Φαῦστα,
τοῖς μώλωψιν ἀθλήσεως τῆς σῆς
καὶ τῆς φαιδρᾶς παρθενίας σου·
225 διὰ τοῦτο τὰ γέρα
ἀπείληφας ἀντάξια, σεμνή,
τοῦ ἰᾶσθαι τὰς νόσους
τῶν ἀσθενούντων πάντοτε.

---

heirm. θ' EE 34, n. 46, Joannis 220 v. om. Bd

199-200 Lev. 19,5

Οἱ ἐν ποικίλαις νοσοῦντες
230 ἀσθενείαις τῷ θείῳ
ναῷ σου προσιόντες ἐκ ψυχῆς
αἴρουσιν ἴασιν ἄφθονον,
ὡραιόψυχε Φαῦστα,
καὶ οἴκαδε ἀπίουσιν ἐκ σοῦ
235 ἐρρωμένοι, ὑμνοῦντες
τὸν ἐραστήν σου κύριον.

f. 40 ‖ Ὑπὲρ ἡμῶν τὸν σωτῆρα
δυσωποῦσα μὴ παύσῃ
σὺν Μαξιμίνῳ τῷ χριστοπρεπεῖ,
240 Εὐϊλασίῳ τῷ θεοφιλεῖ,
παρθενόαθλε Φαῦστα,
τὴν μνήμην τῶν τελούντων σου πιστῶς
τοῦ θεόθεν ταῖς θείαις
κατευοδοῦσθαι πράξεσιν.

θεοτ. 245 Σὺ τοὺς ἡμᾶς πολεμοῦντας
καταπόντισον τάχος
καὶ σῶσόν σου τὴν πόλιν καὶ λαὸν
ὑπερμαχοῦσα τῷ ἄνακτι,
Ἐκκλησίας τὸ κέρας
250 τοῖς ὅροις ἀνυψοῦσα πατρικοῖς,
θεοτόκε, καὶ κόσμον
λιταῖς σου εἰρηνεύουσα.

---

229 ποικίλοις Vm 232 ἄφθονον] ἄφθορον Bd 234 ἀπ[illegible]ουσιν cdd., cf. PSALTES 238 § 352 239 χριστοτερπεῖ Vm 242 τὴν μν. τῶν τελ. πιστῶς Vb 247 πόλιν] ποίμνην Cz

IN SANCTUM PARTHENIUM EPISCOPUM LAMPSACI

Synaxarium, 447: Μνήμη τοῦ ἁγίου Παρθενίου ἐπισκόπου Λαμψάκου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου, υἱὸς Χριστοφόρου διακόνου τῆς κατὰ Μελιτόπολιν ἐκκλησίας, γραμμάτων μὲν ἄπειρος, πᾶσαν δὲ τὴν πρακτικὴν ἀρετὴν μετιέναι σπουδάζων· καὶ προκάλυμμα ταύτης τὴν τῶν ἰχθύων ποιούμενος ἄγραν, τοῖς αἰτοῦσιν αὐτῶν μετεδίδου. Τοσαύτη δέ τις ἦν κρυπτομένη ἐν αὐτῷ εὐσέβεια καὶ ἀρετή, ὡς καὶ χάριν παρὰ Θεοῦ λαβεῖν, δαίμονας ἀπελαύνειν καὶ παντοίας νόσους ἰᾶσθαι. Ἐπιμέλειαν δὲ ποιησάμενος τῆς τῶν γραμμάτων μαθήσεως, χειροτονεῖται πρεσβύτερος ὑπὸ Φιλίππου τοῦ ἐπισκόπου Μελιτοπόλεως καὶ αὖθις ἐπίσκοπος τῆς Λαμψάκου ὑπὸ Ἀσχολίου μητροπολίτου Κυζίκου. Πολλὰ δὲ θαύματα ἐκτελέσας — καὶ γὰρ ὑπὸ ταύρου τὸν ὀφθαλμὸν ἀνδρός τινος ἐκκοπέντα ἰάσατο, καὶ μόνῃ σφραγῖδι καρκίνον, πάθος οὕτω λεγόμενον, ἀπό τινος γυναικὸς διεσκέδασε, καὶ τὸν λυττήσαντα κύνα καὶ κατασχόντα αὐτὸν φυσήματι ἀπενέκρωσε, καὶ τὸν ἀπὸ τῆς ἁμάξης συμπατηθέντα καὶ διαρραγείσης αὐτῷ τῆς γαστρὸς τεθνηκότα αὖθις ἀνεζώωσε, καὶ ἀπὸ τοῦ ἐπιτρόπου τῆς γαμετῆς τὸ ἀκάθαρτον ἀπήλασε πνεῦμα, καὶ ἐνεργεῖν τοῖς βαφεῦσι τὰ πρόσφορα παρεσκεύασεν, ἀποδιώξας τὸν ἐμφωλεύοντα δαίμονα — καὶ πολλὰ ἕτερα ἐνεργήσας παράδοξα καὶ περὶ τῶν ἐσομένων προειπὼν πρὸς κύριον ἐξεδήμησε.

Crypt. Δ.α. XVI = Ci, ff. 41v-47v

Ὁ κανών.

Ἦχος α΄.

ᾠδὴ α΄. *Τῷ βοηθήσαντι Θεῷ*

Τῆς εὐσεβείας τὸν φαιδρὸν
ἑωσφόρον, οἱ πιστοί,

Μηνὶ Φεβρουαρίῳ Ζ.΄ Τοῦ ἁγίου Παρθενίου ἐπισκόπου Λαμψάκου καὶ τοῦ ἁγίου Θεοδώρου τοῦ Τήρωνος. cd., alternatis odis, tres canones tradit: prior Ὁ κανὼν τοῦ ἁγίου Παρθενίου quem huc proferimus; alter Ἕτερος κανὼν τοῦ ἁγίου Παρθενίου φέρων ἀκροστιχίδα· Φερώνυμον σέβω σε τῆς παρθενίας quem statim postea invenies; tertius Ἕτερος κανὼν τοῦ ἁγίου Θεοδώρου φέρων ἀκροστιχίδα· Θεοῦ σε μέλπω δωρεῶν, ἐπώνυμε = TR 206.

heirm. α΄ EE 16, n. 22, Joannis

ὡς τῶν θαυμάτων τῷ πυρσῷ
(f. 42) καταλάμπον‖τα ἡμᾶς,
5 συνελθόντες σήμερον,
Παρθένιον, ὕμνοις τιμήσωμεν.

Ἐξ ἡλικίας παιδικῆς
θείας χάριτος πλησθείς,
ταῖς τῶν θαυμάτων προκοπαῖς
10 αὐξανόμενος ἀεί,
οὐρανομήκης ἐγένου,
Παρθένιε ἱεροκῆρυξ Χριστοῦ.

Ἐν χαρμονῇ πνευματικῇ
εὐφρανθῶμεν, οἱ πιστοί,
15 ἐγκωμιάζοντες ᾠδαῖς
τὸν ποιμένα τὸν καλόν,
καὶ ἱερὰν αὐτοῦ μνήμην
ἐπιτελοῦντες Χριστὸν δοξάσωμεν.

(τριαδ.) Ἡ ἐν θεότητι μιᾷ
20 τρισυπόστατος μονάς,
μόνε ἀγέννητε πατήρ,
καὶ υἱὲ μονογενές,
καὶ μόνον ἅγιον πνεῦμα,
ὁμοβασίλειον κράτος, σῶσον ἡμᾶς.

(θεοτ.) 25 Μέγιστον τέρας καὶ φρικτὸν
ὅτι τίκτεις πλὴν ἀνδρὸς
καὶ γαλουχεῖς μητροπρεπῶς
τὸν τροφέα τοῦ παντός·
διὰ τοῦτό σε πάντες
30 ἀξιοχρέως μακαριοῦμεν, ἁγνή.

---

22 μονογενὴ

7-12 cf. PG 114, 1348 A; LATYŠEV, *Menologii*, I, 304[26] [illegible] [1-5]

7-10 Luc. 2,52

f. 42ᵛ

ᾠδὴ β΄. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ σωτὴρ τοῦ κόσμου

Μαχαίρᾳ τῶν λόγων σου
φιλαργυρίας σκόλοπας
ἐκ τῆς τοῦ προέδρου
καρδίας, πάτερ, ἐκτεμών,
35 τῆς εὐποιΐας βλαστῆσαι
τὰ σπέρματα πεποίηκας.

Χαρὰν ἀκουτισθέντες
οἱ λαοὶ τῶν θαυμάτων σου
φοιτῶντές σοι, πάτερ,
40 τῶν θλιπτικῶν αὐτῶν παθῶν
ἀπολυτρούμενοι πίστει
δόξαν Θεῷ ἀναπέμπουσιν.

τριαδ. Τριάδα δοξάσωμεν
ἐν μιᾷ οὐσιότητι,
45 Θεὸν τὸν πατέρα,
Θεὸν υἱόν, Θεὸν τὸ πνεῦμα,
ἅγιον, ἅγια τρία,
μονάδα τρισυπόστατον.

---

heirm. β΄ EE 16, n. 22, Joannis 31 Μάχαιρα metri causa cd
40 αὐτοῦ 42 ἀναπέμποντες

31-36 cf. PG 114, 1361-1364; LATYŠEV, *o.c.*, 25^{19-37}, 312^{38}-314^{1-3}
37-42 cf. PG 114, 1365; LATYŠEV, *o.c.*, 316^{36} - 317^{1-6}

---

31 Eph. 5,17; Hebr. 4,12

f. 43

‖ ᾠδὴ γ΄. *Στερέωσον, κύριε,*
τὴν Ἐκκλησίαν σου,
ἣν ἐκτήσω τῇ δυνάμει τοῦ σταυροῦ σου,
ἐν ᾧ ἐχθρὸν ἐθριάμβευσας
5 *καὶ ἐφώτισας τὴν οἰκουμένην.*

Ἀγάλλεται σήμερον
50 ἡ θρεψαμένη σε
Μελιτόπολις σὺν πάσῃ τῇ Ἑξαπόλει
ὁρῶσά σε πεποικιλμένον
ἐν τῷ κάλλει τῶν θεουργημάτων.

Εἰκόνα σε ἔλαβεν
55 ἡ Ἐκκλησία Χριστοῦ
εὐσεβείας ἀνθηροῦσαν, τοὺς χαρακτῆρας
ἀστράπτουσαν τῶν ἰαμάτων
εἰς τὰ πέρατα, θεόφρον πάτερ.

Ὁ ἄφωνος ἥλατο
60 πρὸ τῶν ποδῶν σου ἰχθύς,
ἀνανήξας πρὸς προσκύνησίν σου, πάτερ·
ἀνῆλθε γὰρ εὐλογηθῆναι
ἐπιγνούς σου τὴν θαυματουργίαν.

τριαδ. Τρισάκτινε ἥλιε,
65 τρισσοκλεέστατον φῶς,
Θεὲ πάτερ, υἱὲ καὶ ἅγιον πνεῦμα,
ἡ ἄναρχος ἀρχηζωΐα,
περιφύλαττε τοὺς σὲ ὑμνοῦντας.

θεοτ. Παράδεισος ὤφθης μοι
70 ἄλλος, παρθένε ἁγνή,

---

heirm. γ΄ EE 16, n. 21, Germani 56 ἀνθηροῦσα 57 [illegible]ράπτουσα
59 ἥλλατο

49-53 cf. PG 114, 1348; LATYŠEV, *o.c.*, 20^{22-25}, 303^{23-25}

69-73 Gen. 2,8; Apoc. 2,7

εὐζωίας ἐκβλαστήσασα τὸ ξύλον,
ἐξ οὗ φαγὼν οὔποτε θνήσκω·
εἰς αἰῶνας γὰρ ἀθανατοῦμαι.

f. 43v Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Τῆς Λαμψάκου ὁ μέγας θαυματουργὸς
....

ᾠδὴ δ'. *Εἰσακήκοα, οἰκτῖρμον,*
τὴν διὰ σαρκὸς οἰκονομίαν σου,
ἣν ἑκὼν κατεδέξω
εἰς πάντων σωτηρίαν
5 *καὶ ἐδόξασα, Λόγε,*
τὴν ἄκραν συγκατάβασιν.

Φέγγος ἀστραπῆς θαυμάτων
75 φέρειν σου οἱ δαίμονες οὐκ ἔχοντες,
ἢ θάλασσα ὡς νέφη,
ἐκ βλάβης τῶν ἀνθρώπων
εἰς τὸ πῦρ τῆς γεέννης,
παμμάκαρ, συνωθοῦνται.

80 Τὸ τῆς Ἐκκλησίας σκάφος
ἀπὸ τρικυμίας τῶν εἰδώλων
ἐν πίστει κυβερνήσας
ἐρρύσω, θεομάκαρ,
ἐν τῷ τῆς εὐσεβείας
85 λιμένι ὁρμισάμενος.

---

72 ἐκ σοῦ   κάθ. MR III, 524
heirm. δ' EE 12, n. 16, Andreae   79 συνωθούμενοι

---

74 Hab. 3,11   78 Matth. 5,22

Τὸν τῆς προσευχῆς σου σπόρον
δεξαμένη ἡ ἄκαρπος ἄρουρα
ἐβλάστησε πολύχουν
f. 44 ἐπὶ και||ρῷ τὸν λόγον
90 τῶν ἀγώνων σου, πάτερ
θεόφρον, τρισμακάριστε.

θεοτ. Σὺ τοῦ ἑπτακύκλου κρείττων
οὐρανὸς ἡμῖν ἐδείχθης, σεμνή,
τὸν τῆς δικαιοσύνης
95 ἥλιον ἀνίσχουσα,
τὸν φωτίσαντα κόσμον
λαμπρότητι τῆς θεότητος.

f. 44v ᾠδὴ ε'. [*Ἐκ νυκτὸς ὀρθρίζοντες*
ἀνυμνοῦμέν σε, Χριστέ,
τὸν τοῦ πατρὸς συνάναρχον
καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν·
5 *τὴν εἰρήνην τῷ κόσμῳ παράσχου, φιλάνθρωπε.*]

Τὰς προσευχάς σου ὥσπερ βέλη
κατὰ δαιμόνων ἀποστέλλων πυκνῶς
100 τὰς ἀστραπὰς ἐπλήθυνας
τῶν ἰάσεων, πάτερ,
καὶ συνετάραξας αὐτῶν τὴν ἰσχύν.

[Θεμελίῳ εὐσεβείας
ναὸν ἅγιον ἐξήγειρας
105 καὶ ἀληθείας πελέκει
τὰ τῶν εἰδώλων τεμένη,
παμμακάριστε, κατέαξας.]

---

post v. 91 sequitur lacuna unius troparii   heirm. ε' EE 4, n. 5, Joannis; heirm. metro stopharum minime aptatur   2 ὑμνοῦμεν EE
103-107 stropha interposita extra metrum est.

86-91 cf. PG 114, 1361-1364; Latyšev, *o.c.*, 26^{28-37}, 315^{6-19}
103-107 cf. PG 114, 1349 D; Latyšev, *o.c.*, 22^{1-3}, 306^{38}-307^{1-5}

86-91 Matth. 3,3-23   94-95 Mal. 4,2   98-100 II Regn. 22,15
103-104 Luc. 6,48   105-107 Ps. 73,6

Ἐνεργῶν τῇ κογχυλεύσει
ἐπιτοθάζοντας τοὺς δαίμονας
110 τῶν προσευχῶν σου μάστιγι
ἀπεδίωξας, πάτερ,
πορφυρίζειν τοῖς βαφεῦσι διδούς.

τριαδ. Πάτερ, υἱὲ καὶ πνεῦμα ἅγιον,
μία φύσις, εἷς Θεὸς ἐν τρισὶν
115 καὶ ὁ Θεὸς ἓν ἕκαστον,
φῶτα καὶ φῶς, ζωὴν καὶ ζωάς,
ἁγίαν, ἅγιον καθ' ἕν σε ὑμνῶ.

θεοτ. Τῶν ἀγγέλων ἀνωτέραν
ἐκ σοῦ τεχθεὶς ἔδειξεν·
120 ὃν γὰρ ἐκεῖνοι τρέμουσιν
ὡς Θεῷ ἀτενίσαι
συναγκαλίζει ὡς υἱόν σου, ἁγνή.

f. 45 ᾠδὴ ϛ'. *Τὸν προφήτην διέσωσας*

Ἡ ὑψηλὴ πολιτεία σου
οὐρανόν σε ἀνέδειξεν
125 ἐν τοῖς ἄστροις ὡραϊσμένον,
πάτερ, τῶν θαυμάτων σου.

Ἱεραρχίας τῷ χρίσματι
καὶ εὐωδίᾳ τῶν ἔργων σου
ἐπλήρωσας τὴν οἰκουμένην,
130 τρισμάκαρ Παρθένιε.

Ἡ σορὸς τῶν λειψάνων σου
ἐνεργοῦσα ἰάματα
ἰατρεῖον ἄμισθον, πάτερ,
ὑπάρχει τῇ ποίημνῃ σου.

---

heirm. ϛ' EE 17, n. 22, Joannis 123 ὑψιλὴ

108-112 cf. PG 114, 1357 BC; LATYŠEV, *o.c.*, 24^{30-37}-25^{1-3}, 311^{31-36}-312^{1-11}
131-134 cf. PG 114, 1365 AB; LATYŠEV, *o.c.*, 316^{36-37}-317^{1-6}

τριαδ. 135 Ἐν τρισὶν ὑποστάσεσιν
μίαν φύσιν θεότητος,
πατέρα, υἱὸν καὶ τὸ πνεῦμα,
πιστοί, προσκυνήσωμεν.

θεοτ. Τὴν παρθένον ὑμνήσωμεν
140 ὡς ἀσπόρως κυήσασαν
τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα
πρὸ πάσης τῆς κτίσεως.

f. 46 ᾠδὴ ζ'. *Ὁ ἐν τῇ βάτῳ ὀφθεὶς*

Ὁ ἐγκρατείας θεσμοῖς
ἀρετῶν κανόνα δείξας
145 καὶ δοχεῖον χαρισμάτων
τὸν σὸν ἱερομύστην
εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὁ ἀναδείξας σοφὸν
150 ἐν γραμμάτων ἀπειρίᾳ
τὸν ὅσιον ῥητορεύειν
τὸν τῆς χάριτος Λόγον,
εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

155 Ἀγγελικῶς ἐπὶ γῆς
πολιτευσάμενος, πάτερ,
ἀπροσίτοις ἀρεταῖς,
ἀγλαϊζόμενος, κράζεις·
« εὐλογητὸς εἶ, κύριε,
160 ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

τριαδ. Ἀρχὴν ἀνάρχου ἀρχῆς
τοῦ πατρὸς υἱὸν δοξάζω
καὶ τὸ πνεῦμα ἀρχικόν,
ἐκπορευτὸν ἀναμέλπω·

---

heirm. ζ' EE 17, n. 22, Joannis 147-148, 153-154, 159-160 post εὐλογητὸς cetera om. cd

165 « εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

θεοτ. Χαῖρε, ζωῆς θησαυρέ,
ἐξ οὗπερ καταπλουτοῦμεν
σωτηρίαν οἱ πτωχεύσαντες
170 ἐν πλήθει πταισμάτων·
αἱ γενεαί σε ἅπασαι,
Μαριάμ, μακαρίζομεν.

f. 46ᵛ ᾠδὴ η'. *Τὸν τοὺς ὑμνολόγους ἐν καμίνῳ*

Ταῖς τῶν ἀρετῶν χρωματουργίαις
ἐξεικονίσας τὸν βίον
175 τὴν θεοείκελον
ἀπηκριβώσω εἰκόνα τοῦ πρώτου Ἀδάμ,
ἐν τούτῳ,
πάτερ, ἀπολαύων
τοῦ ἀθανάτου ξύλου.

180 Τῷ εὐκτικῷ σου λόγῳ, πάτερ,
οἱ ἐν θαλάσσῃ ἰχθύες
δαιμονικῆς ἄγρας
ἀπολυθέντες εὐθὺς ἐπανήρχοντο,
ὑμνούντων
185 τῶν ἁλιευόντων
Χριστὸν εἰς τοὺς αἰῶνας.

Τὸ τῆς παρθενίας κλέος ἔχων
πραγματικῶς καὶ τῇ κλήσει
τοὺς ἐκπορεύοντας
190 εἰδωλικῶς εἰς τὸ θεῖον τῇ πίστει Χριστοῦ
ἁγνείας
ἔδειξας παρθένους,
Παρθένιε τρισμάκαρ.

165-166 post εὐλογητὸς cetera om. cd. 168 ἐκσοῦπερ
heirm. η' EE 16, n. 21, Germani

---

1 80-186 cf. PG 114, 1357 CD - 1360 A; Latyšev, *o.c.*, 25[4-18], 312[12-3]

τριαδ. Τῆς μοναδικῆς τρία θεότητος
f. 47 πρόσωπα σέ‖βων δοξάζω,
196 πατέρα ἄναρχον
καὶ υἱὸν καὶ πνεῦμα τὸ ἅγιον,
οὐσίαν
μίαν τε καὶ φύσιν
200 εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. Τὴν τῶν οὐρανῶν πλατυτέραν
καὶ Χερουβὶμ ὑπερτέραν,
τὴν ἁγιόπρωτον
καὶ θεονύμφευτον κόρην Χριστοῦ τοῦ Θεοῦ
205 ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

f. 47ᵛ ᾠδὴ θ'. *Σέ, ἥνπερ εἶδε Μωυσῆς*

Σὲ τὸν ἐν ὄρει ἀρετῶν
ἀναβάντα νοητῶς
210 κἀκεῖθεν ἀστράψαντα
τὰς ἀστραπὰς τοῦ πνεύματος
διὰ τῶν ἰάσεων
καὶ τοὺς ζοφώδεις
σκορπίσαντα δαίμονας
215 ὕμνοις, ἱερουργέ, μεγαλύνομεν.

Σὲ τὸν μιμήσει Ἠλιοὺ
κεκλεισμένον οὐρανὸν
εὐχαῖς σου ἀνοίξαντα
καὶ ὕδασιν ὀμβρίσαντα

---

207 v. om. cd.
heirm. θ' EE 14, n. 18, Andreae 208 τῶν ἐν ὄρη 214 σκορπίσαντας

216-223 cf. PG 114, 1361 C; Latyšev, *o.c.*, 26[8-19], 314[19-37]

---

216 III Regn. 17,45; Luc. 4,25

220 τῆς γῆς τὴν ξηρότητα
καὶ ταύτην θάλλειν
καρποὺς ἀναδείξαντα
ὕμνοις, θαυματουργέ, μεγαλύνομεν.

Σὲ τὸν δυνάμει καὶ φωνῇ
225 Ἐλισσαίου τοῦ κλεινοῦ
τὸν ἄπνουν καὶ ἄφωνον
καὶ ὅλον τεθνηξόμενον
ζωώσαντα ἄνθρωπον
φωναῖς ἀπαύστοις
230 δοξάζοντα κύριον
ὕμνοις, ἱερουργέ, μεγαλύνομεν.

[illegible]ριαδ. Φῶς καὶ ζωὴ καὶ παντουργὸς
ἡ τρισήλιος μονάς,
Θεός τε καὶ κύριος
235 καὶ τῷ ἑνὶ λαμπόμενος,
Τριάς, ἀπαστράπτομαι
τοῖς χαρακτῆρσιν
ἐν μιᾷ θεότητι·
ταύτην πάντες πιστοὶ μεγαλύνομεν.

Θεοτ. Σέ, ἣν Δαυῒδ ὁ μελῳδὸς
241 προεκήρυξε Σιών,
ἐν ᾗπερ κατῴκησεν
ὁ οὐρανοῖς ἀχώρητος
καὶ ἀνεδομήσατο
245 ἐκ τῆς σαρκός σου
κόσμου ἱλαστήριον,
ὕμνοις, μῆτερ ἁγνή, μεγαλύνομεν.

224-231 cf. PG 114, 1356 B - D - 1357 A; LATYŠEV, *o.c.*, 24[4-20], 310[17-37]-311[1-7]

224-228 IV Regn. 4.35

IN SANCTUM PARTHENIUM EPISCOPUM LAMPSA[illegible]

Crypt. Δ.α. XVI	= Ci,	ff.	42-48
Crypt. Δ.α. VI	= Cz,	pp.	70-75
Paris. gr. 13	= Q,	ff.	250-250v
Paris. gr. 1562	= Pp,	ff.	35v-38v
Vat. gr. 2008	= Vm,	ff.	46v-47v
Sinait. gr. 597	= Σ,	ff.	121-123v

Ἕτερος κανὼν φέρων ἀκροστιχίδα·
Φερώνυμον σέβω σε τῆς παρθενίας.
Ἐν τοῖς θεοτοκίοις: Γεωργίου

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Φαιδρύνει ταῖς ἀστραπαῖς τῆς χάριτος
σήμερον ἅπαντας
ἡ παμφαὴς πανήγυρις ἡμᾶς
τοῦ σοφοῦ ἱεράρχου Χριστοῦ,
5 ὥσπερ ἀκτῖνας πέμπουσα
τὰς φωτοφόρους τῶν θαυμάτων αὐγάς.

---

tit. Ἕτερος κανὼν φέρων ἀκροστιχίδα· Φερώνυμον σέβω σε τῆς πα[illegible]ίας· ἐν δὲ τοῖς θεοτοκίοις: Γεωργίου Ci. Τῇ ἑσπέρᾳ κανὼν φέρων ἀκροστιχίδα[illegible]ερώνυμον ... Cz; ἐν τοῖς θεοτοκίοις· Γεωργίου in margine sinistro eiusdem c[illegible]gimus. Εἰς τὸν ὄρθρον, εἰ οὐκ ἔστι τεσσαρακαστή, ὁ κανὼν τῆς ἑορτῆς εἰς ς' εἶτ[illegible] ὁσίου τὸν παρόντα εἰς δ', οὗ ἡ ἀκροστιχίς· Φερώνυμον ..., ἐν δὲ τοῖς θεοτοκίοις· [illegible]γίου Q. Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Φερώνυμον μέλπω σε τῆς παρθενία[illegible]ωργίου ἐν τοῖς θεοτοκίοις Pp. Ὁ κανὼν φέρων ἀκροστιχίδα· Φερώνυμον ..., ἐν [illegible]ῖς θεοτοκίοις· Γεωργίου Vm. Ὁ κανὼν τοῦ ὁσίου Παρθενίου φέρων ἀκροστι[illegible] τήνδε· Φερώνυμον ... Σ

heirm. α' EE 94, n. 133, Joannis 1 τῆς χάριτος] τοῦ π[illegible]ατος Q 5 πέμπουσα] πάντοτε Cz Vm 6 ταῖς τῶν θαυμάτων ἀποστίλβων [illegible]γαῖς Ci τὰς τῶν θαυμάτων αὐγὰς πέμπουσα Cz Vm τὰς τῶν θαυμάτων [illegible]στίλβων (ἀποστίλβειν ex correctione) αὐγὰς Pp

Ἐν ὄρει τῆς ἀπαθείας, ὅσιε,
διαβιβάσας τὸν νοῦν
καὶ τῶν παθῶν τὸν γνόφον ὑπελθών,
10 τῆς ἀΰλου, Παρθένιε,
φωταγωγίας ἔτυχες
τῷ καθαρῷ προσομιλήσας Θεῷ.

Ῥομφαίαν πνευματικὴν σπασάμενος,
ἥ ἐστι ῥῆμα Θεοῦ,
15 τὴν τοῦ ἐχθροῦ κατέτρωσας ἰσχύν,
ἱεράρχα Παρθένιε·
διὸ τὰ νικητήρια
κατὰ δαιμόνων σὺ κεκλήρωσαι.

θεοτ. || Γεννήτωρ ἐν παραδείσῳ γέγονεν
20 φθόνος θανάτου βροτοῖς,
ὃν γεννηθείς, πανάχραντε, ἐκ σοῦ
ὁ υἱὸς τοῦ Θεοῦ καὶ πατρὸς
μετ' ἤχου ἐξηφάνισεν
ἀθανασίαν δοὺς τῷ γένει ἡμῶν.

f. 43 ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

25 Ὡς φοῖνιξ ἀνθοφορῶν
τὰς ἀρετὰς ἐπὶ τῆς γῆς, ὅσιε,
ἀθανασίας καρποὺς
ἐν τοῖς οὐρανοῖς ἐθησαύρισας.

Ναόν σε πᾶσι Θεοῦ
30 ἡ ἐνοικήσασα ἐν σοὶ ἔδειξε

---

9 ἐξελθὼν Q παρελθὼν ex correctione in Pp 13 Ῥομφαίαν ὡς ἀληθῶς σπασάμενος Q Pp Σ 14 ἐστὶν Vm 21 ὁ Ci 22 καὶ πατρὸς] ἡμῶν Pp 24 ἀθανασίας Ci
heirm. γ' EE 94, n. 133, Joannis 25 ἀνθηφορῶν Q

17-18 cf. PG 114, 1352 A-C, 1353 A-D - 1360 A; Latyšev, *Menologii*, I, 22-23, 307-310, 311-312

---

12 Joh. 13,10 13 Mar. 14,47 19-20 Sap. 2,24 23 Ps. 9,7 25 Ps. 91,13 29 I Cor. 3,16

χάρις αὐτοῦ, ὅσιε,
δι' ἧς ἐδοξάσθης, Παρθένιε.

Ὑπέρτιμον ἐκ Θεοῦ
ἱεραρχίας κοσμηθεὶς ἔνδυμα
35 ἱερουργὸς ἄξιος
τῆς αὐτοῦ ἐδείχθης χρηστότητος.

θεοτ. Ἐρράγη τὸ τῆς ἀρᾶς
ἡμῶν μεσότοιχον, ἁγνὴ δέσποινα,
τῷ ὑπὲρ νοῦν τόκῳ σου,
40 καὶ τῇ θείᾳ φύσει συνήφθημεν.

f. 44 ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία*

Μυστηρίων ἀπορρήτων κατατρυφήσας
τῶν τοῦ Θεοῦ, τρισμάκαρ,
ἐμυήθης ἐνθέως
τὰ αὐτοῦ ἀπόκρυφα·
45 διὸ καὶ τῆς γνώσεως
ποταμούς, Παρθένιε, ἔβλυσας.

Ὅλος ἤρθης, θεοφόρε, τῇ διανοίᾳ
πρὸς οὐρανὸν ἐνθέως
καὶ δόξαν κατεῖδες
50 νοητῶς τὴν ἄρρητον·
διὸ καὶ ἰσάγγελος
ἐπὶ γῆς ἐδείχθης, Παρθένιε.

Νόμον θέμενος μελέτημα ἐν καρδίᾳ
τὸν τοῦ Θεοῦ πανσόφως

---

34 κοσμησθεὶς Cz ἐνδυθεὶς Q κοσμισθεὶς Vm 38 μεσότειχον Vm μεσότυχον Σ
heirm. δ' EE 94, n. 133, Joannis 42 παμμάκαρ Q 43 θείως Σ 47 Ὅλως Σ 49 καὶ τὴν δόξαν κατεῖδες Cz Vm 53 Νόμον θέμενος μελέτην ἐν τῇ καρδίᾳ Q Νόμον θεῖον σου μελέτημα τῇ καρδίᾳ Vm θέμενος] θεὶς Cz 54 τὸν τοῦ θεοῦ σου πάνσοφε Cz πανευσεβῶς ἐκθέμενος Vm τὸν τοῦ θεοῦ τρισμάκαρ Σ

---

49 Joh. 11,40 53 Ps. 36,31; 118,77

55 ἐδείχθης, θεόφρον,
ξύλον πιαινόμενον
τοῖς λόγοις τοῦ πνεύματος
καὶ ταῖς ἐνεργείαις, Παρθένιε.

Συνευφραίνεται ἀγγέλοις τὰ ὑπὲρ νοῦν σου
60 ὁρῶσα πᾶσα κτίσις
τελούμενα, πάτερ,
ἱερὰ τεράστια·
διὸ καὶ τὸν αἴτιον
τούτων ἀνυμνεῖ ὡς Θεὸν δυνατόν.

θεοτ. 65 Ὡς παράδοξα καὶ ἄρρητα, θεοτόκε,
τὰ τοῦ καινοῦ σου τόκου
ἀληθῶς ὑπάρχει
ξένα καὶ ἐξαίσια,
ἐν οἷς ἡ διάνοια
70 καὶ ὁ νοῦς ἡττᾶται, πανάχραντε.

f. 44v ᾠδὴ ε'. *Σύ, κύριε μου, φῶς*
εἰς τὸν κόσμον

Ἐχρίσθης ἀληθῶς
τῷ ἐλαίῳ τοῦ πνεύματος,
Παρθένιε, κατ' ἀξίαν
λειτουργῶν τῷ κυρίῳ
75 τῷ δόξῃ σε κοσμήσαντι.

Βυθὸν διερευνῶν
τῆς Γραφῆς, παναοίδιμε,

59-60 Συνευφραίνεται ἀγγέλοις πᾶσα ἡ κτίσις / τὰ ὑπὲρ νοῦν ὁρῶσα Pp Σ 60 πᾶσα κτίσις ὁρῶσα Q 62 ἱερὰ] διὰ σοῦ Σ 64 τοῦτον Ci Σ 66 κενοῦ Σ
heirm. ε' EE 94, n. 133, Joannis 72 ἐλέω Cz Vm τοῦ πνεύματος] τῆς χάριτος Cz 74 λειτουργεῖν Σ

---

56 Ps. 1,3 71-72 Ps. 44,7 76-80 Matth. 13,46

πολύτιμον μαργαρίτην
τὸν Χριστὸν ἀνελέξω
80 ὃν τῇ ποίμνῃ διένειμας.

f. 45 ‖ Ὡς ἔχων ἐκ Θεοῦ
τὴν ἀκένωτον χάριν, σοφέ,
παράδοξα ἀναβλύζεις
τὰ θαυμάσια πᾶσιν,
85 θαυματουργὲ Παρθένιε.

θεοτ. Ῥομφαῖαι τοῦ ἐχθροῦ
νῦν εἰς τέλος ἐξέλιπον
τεκούσης σου Θεὸν Λόγον
ὑπὲρ νοῦν τε καὶ λόγον,
90 παρθένε ἀπειρόγαμε.

ᾠδὴ ς'. *Θύσω σοι*
μετὰ φωνῆς

Σαλπίζει
τῇ οἰκουμένῃ πάσῃ, Παρθένιε,
ὁ θεοφόρος σου βίος
τῶν τερπνῶν θαυμάτων καὶ χαρισμάτων,
95 ἀοίδιμε,
τὰ παράδοξα φθόγγῳ τοῦ πνεύματος.

Ἔρρανας
υἱοθεσίας ὕδωρ τῇ ποίμνῃ σου
τῆς ἀσεβείας τοῦ λύθρου
f. 45v 100 ἀποσμήχων ταύτην ταῖς ‖ διδαχαῖς σου
καὶ φωτίζων
τῷ τῆς χάριτος φέγγει, Παρθένιε.

---

78 πανένδοξε μαργαρίτην Pp 82 ἀκένωταν] ἀένναον Q 83 παράδοξα] πανέντιμε Pp ἀναβλύζοις Σ 86-90 hoc θεοτ. refert Σ: Ῥανάτω, ὁ[1] οὐρανός, / εὐφροσύνην καὶ χάριν ἐν γῇ· / ἀνέδωκεν αὔτη γὰρ νῦν[2] / εὐφροσύνην εἰς ὕψος / τὴν μόνην θεομήτορα[3] = MR VI, 203 ([1] om. MR [2] ἀνέδ. νῦν γὰρ αὔτη MR [3] θεομήτοραν Σ)
heirm. ς' EE 94, n. 133, Joannis 94 θαμάτων Cz 96 φθόγγου Σ 99 εὐσεβείας Ci 101-102 παρθένιε / καὶ φωτίζων φωτὶ τῷ τῆς χάριτος Q Σ

81-82 Gen. 39,4; Luc. 1,30 96-97 Ez. 36,25

Τῷ κύτει
ὡς ἐν πελάγει ὄντως τῆς χάριτος
105 τῶν ἀκαθάρτων πνευμάτων
τοὺς τριστάτας, πάτερ, καταποντίζων
ἀποπνίγεις
κραταιῶς ἐν ἰσχύϊ τοῦ πνεύματος.

θεοτ. Γνώσεως
110 ἀκηράτου καρπὸν ἀνεβλάστησας,
θεοκυῆτορ, τῷ κόσμῳ,
ἀειζώου πρόξενον ἀφθαρσίας
δεικνύμενον
τοῖς ἐν πίστει καὶ πόθῳ ὑμνοῦσί σε.

Κοντάκιον.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Ὁ τὴν κλῆσιν πράξεσιν
εἰσδεδεγμένος
....

Ὁ οἶκος. *Τῇ Γαλιλαίᾳ*

Φῶς νοερὸν τὸ ἐκ φωτὸς
πατρὸς τοῦ προανάρχου
....

---

103 κήτει Ci Cz Q Vm Σ 108 πάτερ post ἰσχύϊ add. Q 112 ἀειζώου] ἀϊδίου Q 114 ὑμνοῦσι] τιμῶσιν Σ

Κοντάκ. et οἶκ. ed. MR III, 524; in Q, post οἶκ. ipsius κοντακ., sequitur synaxarium s. Parthenii quod inc.:Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Μεγάλου, cf. Synax. Eccl. CP., 447; in Cz autem post odem ς' legimus: Κάθισμα. Ἦχος πλ. δ'. Τὴν σοφίαν τοῦ Λόγου Τῆς Λαμψάκου ὁ μέγας θαυματουργός ... MR III, 524, [illegible] post odem γ' habet Q

---

106 Ex. 15,4 109-110 Gen. 3,6

f. 46 ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*
Ἀβραμιαῖοι

115 Ἡ τοῦ πνεύματος
ἐν σοὶ σκηνώσασα θεία χάρις, σοφέ,
οἶκον
καὶ ναόν σε δόξης πνευματικὸν
κατεσκεύασε, Παρθένιε,
120 ἐν ᾧ πατήρ, υἱὸς
καὶ αὐτὸς ὁ παράκλητος ᾤκησεν.

Στολὴν ἔνθεον
τῶν ἀρετῶν κοσμούμενος, ὅσιε,
ἔνδον
125 τῶν ἁγίων ὤφθης θεοπρεπῶς
λειτουργὸς ἀξιοθαύμαστος·
διὸ τετίμησαι
τὰς ἐμφάσεις Θεοῦ εἰσδεχόμενος.

Πυρὶ τῷ θείῳ
130 τῆς ἀσεβείας ἔφλεξας, ὅσιε,
πᾶσαν
ἀκανθώδη πλάνην ἐπὶ τῆς γῆς
καὶ κατέσπειρας τῇ ποίμνῃ σου
θεῖα διδάγματα
135 καὶ ἀξίους καρποὺς εἰσκομίζοντα.

Ἀγκίστρῳ γλώσσης
ἐκ τοῦ βυθοῦ τῆς πλάνης, Παρθένιε,
πάλαι
τὴν σὴν ποίμνην εἵλκυσας πρὸς ζωήν,

---

heirm. ζ' EE 94, n. 133, Joannis 116 ἐν σοὶ θεία σκηνώσασα χάρις σοφὲ Cz θεία ἐν σοὶ σκηνώσασα μάρτυς σοφὲ Vm ἐν σοῖ σκηνῶσασα νῦν δύμαμις Σ θεία deest in Q 118 πνευματικὸν] ὡς ἀληθῶς Q Pp Σ 122 Στολῇ ἐνθέῳ Cz Q Vm Σ Στολὴν θεόθεν Pp 125 ἁγίων] ἀδύτων Cz Vm 135 ἀειζώους καρπούς σοι κομίζοντα Q ἀειζώους καρποὺς εἰσκομίζοντα Pp ἀειζώους καρποὺς συγκομίζοντα Σ 136-142 trop. desideratur in Cz 139 πρὸς ζωὴν] καὶ λαοὺς Q

140 νῦν δέ, πάτερ, τῇ πρεσβείᾳ σου
ἀγρεύεις ἅπαντα
τῶν ἰχθύων τὰ γένη τῇ χάριτι.

θεοτ. Εἶδον ἄγγελοι,
θεοκυῆτορ, ξένα τῷ τόκῳ σου·
145 φύσιν
f. 46ᵛ ‖ τὴν φθαρτὴν τοῦ γένους τοῦ χοϊκοῦ
πρὸς ἀκήρατον καὶ ἄφθαρτον
παλινδρομήσασαν
κατοικίαν καὶ δόξαν οὐράνιον.

f. 47 ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

150 Ῥάβδῳ τῇ τῆς πίστεως, σοφέ,
τοὺς τῶν ἑλλήνων βωμοὺς
καταστρεψάμενος·
ναοὺς ἀνήγειρας, ὅσιε,
τῷ πατρὶ καὶ τῷ Θεῷ ἡμῶν,
155 ἐν οἷς θυσίας καθαρὰς
προσῆγες ψάλλων αὐτῷ·
« εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

Θῦμα εὐωδέστατον σαυτὸν
160 ὁλοκαυτώσας, σοφέ,
τῆς ἐγκρατείας πυρί,
ὀσμὴν ἀνέπεμψας ἄμωμον
εἰς τὸ θεῖον καὶ ἀπρόσιτον
θυσιαστήριον Θεοῦ,

---

141 ἅπασι Q 142 τῷ γένει Ci 143 Ἴδον Ci Cz Pp Vm Σ acrostichidis causa 144 ἐπὶ τῆς γῆς παρθένε ξένα τῷ τόκω σου Σ ξένα] ἁγνὴ Vm, idem om. Cz

heirm. η' EE 94, n. 133, Joannis 154 τῷ σωτῆρι καὶ θεῷ ἡμῶν Cz Q Pp Vm Σ 155 οἷς] ᾗ Ci 158, 167 orationem varie detruncant cdd. 160 ὁλοκαρπώσας Σ σοφέ] θεῷ Cz Vm 162 ὀδμὴν Pp

---

150-154 cf. PG 114, 1349 D; Latyšev, *o.c.*, 21-22, 305-308.

165 ψάλλων, Παρθένιε·
« εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

Ἔχων θείαν χάριν ἐκ Θεοῦ,
πάτερ Παρθένιε,
170 βρύεις ἰάματα
τοῖς προσιοῦσί σοι, ὅσιε,
ἐκκαθαίρων τὰ νοσήματα
καὶ ἀπελαύνων κραταιῶς
δαιμόνων σύστημα,
175 τὸν αἴτιον
τούτων ὑμνεῖν ὡς Θεὸν ἐκδιδάσκων ἀεί.

θεοτ. Ὁ φύσει ἀπρόσιτος παντὶ
υἱὸς καὶ Λόγος Θεοῦ
ἐν σοὶ σκηνώσας, ἁγνή,
180 καὶ ἐνδυσάμενος, ἄχραντε,
τὸ ἡμέτερον ὡς εὔσπλαγχνος
ὤφθη εὐπρόσιτος σαρκὶ
καὶ συνεστράφη ἡμῖν·
διὰ τοῦτο
185 πόθῳ πολλῷ σε ὑμνῶ καὶ αἰνῶ καὶ τιμῶ.

f. 48 ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Νάματα θαυμάτων ὀμβρίζων,
ἱεροφάντορ, τοῖς ἐν κόσμῳ
πᾶσαν τῶν παθῶν τὴν φλογώδη

---

165 Παρθένιε] θεσπέσιε Σ 171-172 vv. in Cz in margine scripti 175-176 ἀνακράζων / πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον Cz Vm 176 τοῦτον Ci Σ ὑμνῶν Ci ὑμνεῖ Σ 182 ὀφθεὶς Q 183 συνανεστράφη ἡμῖν Q καὶ ἀνεστράφη ἡμῖν Σ 185 φόβω καὶ πίστει ὑμνοῦμέν σε ἄχραντε Q πόθω καὶ πίστει ὑμν. σε ἄχρ. Pp πόθω πολλῶ σε αἰνῶ καὶ τιμῶ καὶ ὑμνῶ Vm

heirm. θ' EE 94, n. 133, Joannis 186 Νάματα ὀμβρίζων θαυμάτων Cz Vm ὀμβρήσας Pp 188 φθογγόδη Σ

168-176 cf. PG 114, 1365 AB; Latyšev, *o.c.*, 316^{37-38}-317^{1-6}

---

168 Gen. 39,4; Luc. 1,30

δροσίζεις, πάτερ, κάμινον χάριτι
190 τοῦ παναγίου πνεύματος,
οὗ ἀνεδείχθης μύστης ἄξιος.

Ἰλὺν ἀποθέμενος ὄντως
τῶν σαρκικῶν παθῶν, τρισμάκαρ,
ὅλον σεαυτόν, θεοφόρε,
195 πρὸς θειοτέραν μετεστοιχείωσας
ζωὴν καὶ λῆξιν ἄϋλον,
ἐν ᾗ χορεύων ἐποπτεύεις ἡμᾶς.

Ἄνθη νοητά, θεοφόρε,
ὡς ἐν λειμῶνι ἀκηράτῳ,
200 ἐν τῇ παναγίᾳ σου μνήμῃ
τὰ τῶν θαυμάτων κάλλη δρεπόμενοι
ποικιλόπλοκον στέφανον
τὰς ἐνεργείας περιφέρομεν.

Σὺ παραδραμὼν ἐν τῷ κόσμῳ
205 καὶ οὐρανίοις, θεοφόρε,
σὺν ταῖς ἀσωμάτοις χορείαις
περιχορεύων, πάτερ Παρθένιε,
ὑπὲρ ἡμῶν ἱκέτευε
τῶν ἐκτελούντων τὴν σὴν μνήμην πιστῶς.

θεοτ. 210 Ὑμνῶ σου τὴν χάριν, παρθένε,
καὶ μεγαλύνω σου τὴν δόξαν·
σὺ γὰρ φωτισμὸς τῆς ψυχῆς μου
ὑπάρχεις ὄντως καὶ ἡ παράκλησις,
ἡ ταχινὴ βοήθεια,
215 ἡ σωτηρία καὶ ἀντίληψις.

---

189 δροσίζεις] σβεννύεις Q 192 ὄντως] πάτερ Σ 193 τρισμάκαρ] τὴν φλόγα Σ 197 ἐν οἷς Q ἐποπτεύοις cdd. excepte Ci 201 κάλλει Ci Q δρεπόμεθα Σ 202 ποικιλοπλόκον Ci Cz Σ metri causa 203 περηφέρωμεν Σ 204 τὰ ἐν κόσμω Q Σ 205 καὶ οὐρανοῖς χωρῶν τρισμάκαρ Cz καὶ οὐρανοὺς νῦν θεοφόρε Q τοὺς οὐρανοὺς νῦν θεοφόρε Pp καὶ οὐρανοῖς χαίρων τρισμάκαρ Vm 206 ἀσωμάτων Pp 207 περιπολεύων Pp 209 τῶν ἐκτελούτων σου τὴν μνήμην πιστῶς Cz Vm τῶν τὴν σὴν μν. ἐκτ. πιστῶς Q 211 τὴν δόξαν] τὸν τόκον Pp 215 ἡ] καὶ Pp Σ καὶ] ἡ Cz

IN SANCTUM THEODORUM STRATELATEM

Synaxarium, 451: Οὗτος ὁ μάρτυς κατὰ τοὺς χρόνους ἦν Λικινίου τοῦ βασιλέως, τὸ γένος ἕλκων ἐκ τῶν Εὐχαΐτων, τὴν δὲ οἴκησιν ποιούμενος ἐν τῇ πρὸς Πόντον Ἡρακλείᾳ, κάλλει τε ψυχῆς καὶ ὥρᾳ σώματος καὶ κράτει λόγων τοὺς πολλοὺς ὑπερέχων· πάντες δὲ ἐφιλοτιμοῦντο τὴν αὐτοῦ φιλίαν καρποῦσθαι. Ταύτῃ τοι καὶ Λικίνιος περὶ πολλοῦ ἐποιεῖτο τὸ συντυχεῖν αὐτῷ, καίπερ ἀκούσας χριστιανὸν αὐτὸν εἶναι καὶ τοὺς λεγομένους θεοὺς βδελύττεσθαι. Διὸ καί τινας ἐκ Νικομηδείας τῆς αὐτοῦ τάξεως ἀποστείλας, ἐντίμως αὐτοὺς ἀγαγεῖν τὸν μάρτυρα προσέταξεν. Ὡς δὲ ὑπέστρεψαν τὸν μακάριον λέγοντες Θεόδωρον ἀνειπεῖν, ὡς χρὴ τὸν βασιλέα μᾶλλον παραγενέσθαι μετὰ τῶν μειζόνων αὐτοῦ θεῶν, εὐθὺς τὸν βασιλέα ἡ Ἡράκλεια εἶχεν. Ὁ δὲ ἅγιος ὄψεσι νυκτεριναῖς θεόθεν αὐτῷ ἐκπεμφθείσαις προθυμοποιηθείς, ἐπεὶ τὸν Λικίνιον ἤδη πλησιάζοντα τῇ πόλει ἐπύθετο, ἐπικαθεσθεὶς ἵππῳ ὑπήντησεν αὐτῷ καὶ τὰ εἰκότα τοῦτον ἐτίμησεν. Ὁ δὲ βασιλεὺς . . . παρεκάλει τὸν ἅγιον θῦσαι τοῖς θεοῖς. Ὁ δὲ ᾐτήσατο λαβεῖν αὐτοὺς καὶ θεραπεῦσαι πρῶτον ἐν τῷ οἴκῳ· καὶ λαβὼν συνέτριψε καὶ διέδωκε πτωχοῖς. Καὶ διὰ τοῦτο πολλὰ βασανισθεὶς πρότερον, ὕστερον ἀπεκεφαλίσθη. Τὸ δὲ τίμιον αὐτοῦ λείψανον ἀνακομισθὲν ἐτέθη ἐν Εὐχανείᾳ.

Mess. gr. 136 = Mf, ff. 97v-106
Crypt. Δ.δ. II = De, ff. 33v-40v
Crypt. Δ.α. XXVII = Cv, ff. 57-60

Ὁ κανὼν ⟨φέρων ἀκροστιχίδα ἐν τοῖς τριαδικοῖς καὶ θεοτοκίοις· Τριάς, σῷζε Θεοῦ δῶρον⟩.
⟨Ποίημα Θεοδώρου τοῦ Στουδίτου⟩

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

Χαῖρε, μαρτύρων ἡ δόξα
καὶ ἀθλητῶν καύχημα,

---

heirm. α' EE 106, n. 149, Andreae De trop. odis α' hoc ordine praebet: (χ), (ψ), 4, 3, 5, 6. 1-8 trop. om. Cv 1-16 his substituit vv. De: Ὁ ἐκ μὴ ὄντων τὰ πάντα / παραγαγών, κύριε, / — — θητη σου — — ⏑́ / — δωρησάμενος, μάρτυς — / ὑπὲρ ἡμῶν τοῦ πρεσβεύειν σοι / ⏑́ — — / παντοίας βλάβης

τῆς οἰκουμένης πρεσβευτά,
μεγαλομάρτυς Θεόδωρε,
5 ὁ πανταχοῦ προϊστάμενος
ἅπασι
τοῖς ἐν ποικίλοις πειρασμοῖς
προσκαλουμένοις σε.

Ὁ τοῦ κυρίου θεράπων
10 καὶ μιμητὴς ἄριστος,
σπεῦσον, βοήθησον ἡμῖν
ὡς καὶ τῷ θρόνῳ παρίστασαι
σὺν ἀσωμάτοις, Θεόδωρε,
τάχυνον,
15 παρακαλούμενος ἐλθέ,
μὴ ἀστοχήσωμεν.

Τὰς παρακλήσεις τὰς ἡμῶν
τῷ εὐσεβεῖ μάρτυρι·
καὶ φερωνύμῳ ἀθλητῇ
f. 98 20 μεγαλο‖φώνως προσάξωμεν·
δῶρον Θεοῦ γὰρ ὑπέρτατον,
ἅπαντας
περιφυλάττων ἀσινεῖς
τοὺς εὐφημοῦντας αὐτόν.

25 Δῶρον Θεοῦ σε καλοῦμεν
ὡς δωρεὰν πάντοτε
προϊσταμένου σου πιστοῖς,
χηρῶν ὑπάρχεις παράκλησις
καὶ ὀρφανοῖς παραμύθιον,

πονηρᾶς / τοὺς εὐφημοῦντάς σε. — Τὰ τῶν ἰάσεων ῥεῖθρα / ταῖς σαῖς λιταῖς, πάτερ, / βρύεις νοσοῦσιν ἐν σπουδῇ· / οὐ γὰρ παρεῖδες δακρύοντα, / οὐκ ἐβδελύξω δεόμενος, / ἅπασιν / χριστομιμήτοις οἰκτιρμοῖς / σὺ προμηθούμενος. 9 Ὁ] Ὡς Cv 10 ἄριστος] ὅσιος Cv 12 ὡς] εἰ Cv 15 παρακαλοῦμεν Cv 17-24 trop. om. Cv 17 τὰς ἡμῶν] εἰκότως De 21 δῶρον χριστοῦ γὰρ ὀνόμασθαι De 23 ἀσινεῖς] ἀπαθεῖς De 27 προϊστάμενος τοῖς πιστοῖς Cv προϊσταμένῳ τοῖς πιστοῖς De 28 χῆρες ὑπάρχων De 29 ὀρφανῶν De Cv παραμήθηα Cv

---

10 I Thes. 1,6 16 I Tim. 1,6; I, 6,21; II, 2,18 28-29 Jac. 1,27

30 πένησι
καὶ γυμνητεύουσι στολὴ
καὶ πάντων προασπιστής.

τριαδ. Τρισσοφαῆ μοναρχίαν
σεραφικαῖς λέξεσιν
35 θεολογοῦμεν οἱ πιστοί·
« ἅγιος, ἅγιος, ἅγιος
πατήρ, υἱὸς σὺν τῷ πνεύματι »
κράζομεν
μεγαλοφώνως οἱ πιστοὶ
40 τῷ ἐπὶ πάντων Θεῷ.

θεοτ. Θεοκαλλώπιστε κόρη,
τίς ἐξειπεῖν δύναται
ἢ ἑρμηνεῦσαι τὸ ἐν σοὶ
ξενουργηθὲν μεγαλούργημα;
45 πλὴν γὰρ σπορᾶς ἐν νηδύϊ σου
εἴληφας
Θεὸν τῶν ὅλων καὶ ἁγνὸν
τοῦτον ἐκύησας.

f. 98v ᾠδὴ γ΄. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Ὁ θαυμαστὸς ἐν πᾶσι τοῖς ἁγίοις
50 Θεὸς ἡμῶν, ἐπίβλεψον
ταῖς ἱκεσίαις τοῦ ἀθλητοῦ
Θεοδώρου, δυσωποῦμεν,
ἐπὶ λαὸν καὶ πόλιν σου
καὶ ταύτην περιφύλαξον.

---

31 στολὴν Cv 32 προασπιστὴς] πρύτανης De πρήτανης Cv 35 θεολογοῦμεν] ὁμολογοῦντες De θεολογοῦντες Cv 37 πάτερ υἱὲ καὶ [illegible] πνεῦμα σου Cv 38 κράζωμεν De 39 οἱ π. ἀγγελοτρόπως Cv 43 ἢ] καὶ De 47 ἁγνῶς De Cv

heirm. γ΄ EE 104, n. 147, Andreae; trop. odis γ΄ hoc ordine refert De: 1, (χ), 2, 5, 6, 7 49-54 trop. om. Cv 50 ὁ ἐπιβλέπων [illegible] Mf 53 ἐπιλαβοῦ καὶ ποίμνης σου De 54 περιφύλαττε De

---

49 Ps. 67,36

55 Ἐσφραγισμένοι πάντες τῷ τιμίῳ
σταυρῷ σου, παντοδύναμε,
καὶ τῷ ἀχράντῳ σου βαπτισμῷ
τιμηθέντες λυτρωθῶμεν
βαρβαρικῆς ἁλώσεως
60 πρεσβείαις τοῦ σοφοῦ ἀθλητοῦ.

Ὡς τοῦ κυρίου μέγας στρατιώτης,
Θεόδωρε πολύαθλε,
ἱκετηρίαις σου ἐπιστὰς
ἀοράτῳ ἐνεργείᾳ,
65 δι' ὧν παρακαλοῦμέν σε
ταχέως ἐκπλήρωσον.

Εἰ καὶ σειραῖς πταισμάτων ἀμετρήτων
ὑπεύθυνοι ὑπάρχομεν,
μεγαλομάρτυς, ὑπὲρ ἡμῶν
70 ἐκτενῶς Θεὸν δυσώπει,
τῶν θλιβερῶν ῥυόμενος
f. 99 ἀεὶ τοὺς προσ‖φύγους σου.

Τῇ φοβερᾷ καὶ θείᾳ σου παλάμῃ
τινάξας τὴν ῥομφαίαν σου,
75 τῶν πολεμίων Ἀγαρηνῶν
τὰ στρατεύματα ἐν τάχει
κατακεντήσας νέκρωσον,
Θεόδωρε πανένδοξε.

τριαδ. Ἰσοκλεὲς τὸ κράτος σου ὑμνοῦμεν,
80 πάτερ, υἱὲ σὺν πνεύματι,
τελεταρχία παντουργική,
φύσις μία καὶ θεότης,

55-60 trop. om. Cv 57 καὶ τοῦ ἀχράντου σου βαπτισμοῦ De 61-66 trop. om. De 67-72 trop. his vv. substituunt De Cv: Χριστιανῶν ὁ μέγιστος προστάτης, / χηρῶν καὶ ὀρφανῶν ὁμοῦ, / δούλων, φευγόντων ἐπιστροφεὺς / καὶ τομὴ κατὰ κλεπτόντων, / νῦν καὶ ἡμῖν παράστηθι, / πανένδοξε Θεόδωρε. 68 ὑπάρχωμεν Mf 73-78 trop. om. Cv 79 Ἰσοσθενὲς Cv 81 τελεταρχίας Mf 82 φύσει Cv

---

55 Ephes. 1,13 67 Prov. 5,22

ὡς Σεραφὶμ τὰ ἄχραντα
καὶ πᾶς ὁ τῶν ἀγγέλων χορός.

θεοτ. 85 Ὁ μὴ ἐάσας κόλπους τοὺς πατρῴους
ἐν μήτρᾳ σεσωμάτωται
ἀσποροσύλληπτος γεγονὼς
Θεὸς ὢν καὶ σὰρξ ὡράθη
παρθενικῶς τικτόμενος
90 καὶ δείξας τὴν τεκοῦσαν ὡς πρίν.

ᾠδὴ δʹ. *Τί ἐκβοᾷς,*
ὦ προφῆτα Ἀμβακούμ;
τί ἀκούσας ἐξέστης;
τί ἐφοβήθης
5 *Θεὸν ἀπὸ Θαιμὰν ἥξαντα*
καὶ τὸν ἅγιον ἐξ ὄρους
f. 99ᵛ ‖ *κατασκίου δασέος;*
διὸ καὶ ἀνέκραζες·
δόξα τῇ δυνάμει σου, δόξα,
10 *Χριστέ, τῇ συγκαταβάσει σου.*

Ὅπλον σταυροῦ
ὡς ῥομφαίαν, ἀθλητά,
ταῖς ἁγίαις χερσί σου
ἀεὶ κατέχων
95 τὰς κόρας τῶν νοητῶν ὄφεων
ἀναιρεῖς ποικιλοτρόπως
ἐναντίους μαστίζων
ἐχθρούς τε τροπούμενος,

---

84 καὶ πᾶς ὑμνῇ τῶν ἀγγέλων χορός Cv 85 ἐάσας] κενώσας De καινώσας Cv 88 ὂν Mf ὁράται De ὡράθης Cv 89 πα[illegible]νικῆς Cv 90 ὡς πρὶν] ἁγνὴν De Cv

Post odem γʹ Cv hoc κάθ. refert: Κάθισμα. Ἦχος γʹ. ⟨*Θείας πίστε[illegible]μολογίᾳ*⟩ Ζέων πίστεως ὁμολογίᾳ / πλάνην ἔσβεσας κακοδοξίας ... = MR I, [illegible]. 50-51.

heirm. δʹ EE 123, n. 169, Andreae; Cv tantum 1-2 vv. heir[illegible] praebet, De autem heirm. integrum refert 4 καὶ ἐθαμβίθεις De 8 [illegible]ραζε EE 9 τῇ δυνάμει σου δόξα om. Mf 9 v. om. Mf trop. odis δʹ [illegible]c ordine refert De: 1, 2, 4, 3, 6, 7. 91-100 trop. om. Cv 95 κόρα[illegible]άρας De 96 ἀνελεῖς De

πᾶσι τοῖς καλοῦσί σε,
100 Θεόδωρε, προϊστάμενος.

Τίς ἐπὶ σοὶ
καταφεύγων, ἀθλητά,
οὐκ ἔτυχε θᾶττον
ὅπερ ἐζήτει;
105 ἢ τίς τὸ ποθεινὸν ὄνομα
καὶ γλυκύτατόν σου, μάρτυς,
προσκαλέσας οὐχ εὗρεν
ταχεῖαν τὴν αἴτησιν;
ὅθεν καὶ ἐτησίως ἡμῖν
110 βοήθησον, ὅτι δύνασαι.

Σὺ ἀληθῶς
ἐν θαλάσσῃ καὶ ἐν γῇ
καὶ ἐν ὄρεσι, μάρτυς,
καὶ ἐν σπηλαίοις
115 καὶ νήσοις καὶ ναυσίν, ἅγιε,
προσκαλουμένους λύτρωσαι
χαλεπῶν ἐκ κινδύνων
f. 100 καὶ σῴζοις ‖ πρεσβείαις σου
πάντας τοὺς τιμῶντάς σου
120 τὴν μνήμην, ἀξιοθαύμαστε.

Πᾶς γηγενὴς
ἤτε πλούσιός ἐστιν
ἤτε πένης ἢ δοῦλος
ἢ ἐν ἀνάγκαις
125 ἢ νόσῳ χαλεπῇ δέδεται
προσερχέσθω τῷ τεμένει
Θεοδώρου προθύμως
καὶ αὖθις κομίσεται

---

99 καλ.] τιμῶσιν De 100 παριστάμενος De 103 ἐπέτυχεν Cv θάττων Mf θάτων De 109 ἐτησίως] ἀρτίως De Cv 111-120 trop. om. Cv 112 καὶ] ἢ De 116 προσκαλούμενος λυτροῦσαι De 118 σώζεις Mf De 119 τιμῶντας] προσκυνοῦντας De 122 εἴτε De 123 εἴτε De 124 ἀνάγκη De 125 ἢ] καὶ Cv

---

121 Ps. 48,2

λύσιν τῶν κακώσεων
130 καὶ χαίρων ἀνθυποστρέψει καλῶς.

Πᾶσα ἡ γῆ
καὶ ὁ κόσμος σὲ ὑμνεῖ,
θεοδώρητε μάρτυς,
μετ' εὐφροσύνης
135 πρεσβῦται, ἱερεῖς, ἄρχοντες,
βασιλεῖς καὶ στρατιῶται,
μονασταὶ σὺν μιγάσι,
πτωχοί τε καὶ πλούσιοι,
δοῦλοι καὶ ἐλεύθεροι·
140 πάντων γὰρ προστατεύεις θερμῶς.

τριαδ. Ἄνω φρικτῶς
Χερουβὶμ καὶ Σεραφὶμ
τὸν τρισάγιον ὕμνον
Θεῷ βοῶσι
145 πυρίνοις ἀληθῶς χείλεσι
f. 100v μὴ τολ‖μῶντες ἀτενίσαι
τῷ ἀρχάντῳ προσώπῳ
καὶ φόβῳ καλύπτονται
τὰ πρόσωπα ταῖς πτέρυξι,
150 βροτοὶ δὲ ἐν γῇ δοξάζομεν.

θεοτ. Ὑμνοπρεπῶς
σοὶ τῷ γένει τῶν βροτῶν
προξενησάσῃ λύτρον
πλημμελημάτων
155 ἀξίως οἱ πιστοὶ μέλπομεν
χαριστήριον προθύμως·
θεοτόκε, περιφρούρησον

---

129 τὴν λύσιν τῶν κ. De 131-140 trop. om. De Cv 14[illegible] [illegible]χράντῳ] ἀφράστω Cv 148 τῶ φόβω καλύπτονται De καλύπτωντες Cv [illegible]0 βροτοὶ δὲ θεὸν δοξάζουσιν De ἐν γῇ] θεὸν Cv 152 σοὶ] σὺ Mf ἡ [illegible] τῆ Cv 153 προξενίσασα Mf πρόξενήσασα De Cv λύτρον] λύτρωσαι [illegible] 155 μέλψωμεν Cv De 156 εὐχαριστεῖαν πρ. De Cv 157-160 θεοτ[illegible]ῶτες / συνήθως ὦ δέσποινα / πάντοτε περιφρούρησον / ἐξάρπασον τῶν κινδύν[illegible]μᾶς De θεοτόκε βώωτες / συνήθως βοήθησον / πάντωτε περιφρούρησαι / ἐ[illegible]σα τῶν κινδύνων ἡμὰς Cv

---

146 II Cor. 3,7

βοῶντας, συνήθως βοήθησον,
ὡς πάντοτε περίσωσον,
160 ἐξάρπασον τῶν κινδύνων ἡμᾶς.

ᾠδὴ ε΄. *Ὄρθρον φαεινὸν ἡμῖν*
ἐξανάτειλον ὡς ἀγαθὸς
καὶ ὁδήγησον ἡμᾶς
εἰς τὸν φόβον σου, δέσποτα κύριε.

Φωστῆρα καὶ πρόμαχον
σέ, Θεόδωρε, πάντες πιστοὶ
κεκτημένοι ἀπὸ σκότους
f. 101 καὶ θλίψεων ‖ λυτρούμεθα ἅπαντες.

165 Ἐμφάνηθι, ἅγιε,
παρακλήθητι, τοῦ σοῦ λαοῦ
τὴν φωνὴν καὶ τὸν κλαυθμὸν
καὶ τὰ δάκρυα ἐνώτισαι, ἔνδοξε.

Νοσοῦσι τὴν ἴασιν
170 ἐξαπόστειλον ταῖς σαῖς εὐχαῖς,
αἰχμαλώτοις τὴν ἀνάρρυσιν
αἴτησαι, τρισμάκαρ Θεόδωρε.

Νηπίοις θηλάζουσι
φυλακτήριον καὶ γυναιξί,
175 νεανίσκοις καὶ παρθένοις
ἐπίκουρος ὑπάρχεις, Θεόδωρε.

τριαδ. Συμφώνως δοξάσωμεν
ὁμοούσιον, μίαν ἀρχὴν
τὸν πατέρα καὶ υἱὸν
180 σὺν τῷ πνεύματι, Τριάδα τὴν ἄκτιστον.

---

heirm. ε΄ EE 107, n. 150, Andreae 2 ἐξανατέλλων De 4 δέσποτα] φιλάνθρωπε De De trop. odis ε΄ hoc ordine tradit: 1, (χ), (ψ), 4, 5, 6. 162 πιστοὶ] ἡμεῖς De Cv 164 θλίψεως Cv ἅπαντες] πάντωτε Cv 165-172 trop. De his substituit vv.: Ὡς μέγας ἐν μάρτυσι / καὶ πανένδοξος ἀν — — ⏑́ / μὴ ἰσχύσει καθ' ἡμῶν χεὶρ παράνομος / καὶ μεχαλαυχήσεται.
Ἡ ποίμνη σου πάντοτε / ὡς ὑπέρμαχον καὶ πρεσβευτὴν / ἐν πολέμοις νικηφόρον κατέχουσα / πιστῶς ἐναβρύνεται. 167 τῆς φωνῆς καὶ τοῦ κλαυθμοῦ Cv 169-172 trop. om. Cv 176 ἐπίκουρον Cv 177 δοξάζωμεν Cv

θεοτ. Δόξα τῇ συλλήψει σου
καὶ τῷ τόκῳ σου, μήτηρ Θεοῦ·
διὰ σοῦ γὰρ γηγενεῖς
ἀνηνέχθημεν πρὸς ὕψος οὐράνιον.

ᾠδὴ ς΄. *Ζάλη με*
λογισμῶν

f. 101v ‖ Ἄσβεστον
186 τὴν λαμπάδα κεκτημένος
τῆς θερμῆς πρεσβείας σου
ἀεὶ καὶ πάντοτε νέμοις
τοῖς αἰτοῦσί σε φῶς τὸ νοητὸν
190 καὶ σκότους ἀφαρπάζων,
μεγαλομάρτυς Θεόδωρε.

Τὴν ζάλην
τῶν ἀθέων πολεμίων
εἰς γαλήνην, ἅγιε,
195 μετάστρεψον, δυσωποῦμεν,
τὴν σὴν πόλιν φυλάττων ἀβλαβῆ
τῆς τούτων προσδοκίας,
μεγαλομάρτυς Θεόδωρε.

Ἡ χάρις
200 τῷ ναῷ σου προσφοιτῶσα
τῇ ἀχράντῳ κλήσει σου
δαιμόνων στῖφος ἐλαύνει
καὶ ἀνθρώπων θυμὸν καὶ ἀπειλὰς
ἐνθέως καταπαύει,
205 μεγαλομάρτυς Θεόδωρε.

---

heirm. ς΄ EE 107, n. 150, Andreae trop. odis ς΄ hoc ordine refert De: 1, 4, 3, 5, 6, 7. 187 τῇ θερμῇ πρεσβείᾳ σου Cv 188 νέμεις De Cv 189 τοῖς ἐτούσιν σαι ρώσιν ἀπλανὴ Cv, v. difficile lectu in De 190 ἀφαρπάζεις De Cv 192-205 trop. om. Cv 200 προσφυτῶσας Mf 203 ἀπειλὴν De 204 κατὰπαύεις De

---

186 Matth. 25,1-13

Λύτρωσαι
τὴν δοξάζουσάν σε πόλιν
ἐκ λιμοῦ καὶ θλίψεως
καὶ πᾶσαν πόλιν καὶ χώραν
210 ἐν ᾗ Χριστὸς ὀνομάζεται ἀεὶ
ταῖς θείαις σου πρεσβείαις,
f. 102 || μεγαλομάρτυς Θεόδωρε.

Πρεσβείαν
τοῖς αἰτοῦσί σε παρέχων
215 ἐν σπουδῇ παράστηθι
τοῖς σὲ ἐπικαλουμένοις
ἐν πολέμοις καὶ ἅρμασι πιστοῖς
τὴν νίκην ἀπονέμων,
μεγαλομάρτυς Θεόδωρε.

τριαδ. 220 Σέβωμεν
τρισυπόστατον μονάδα
πατρικοῖς διδάγμασιν
ἑπόμενοι ὀρθοδόξως,
τὸν πατέρα, υἱὸν καὶ τὸ πνεῦμα,
225 ἀχώριστον τῇ φύσει
κἂν τοῖς προσώποις κηρύττεται.

θεοτ. Ὦ μῆτερ
τοῦ δεσπότου σου καὶ δούλη,
θεοτόκε δέσποινα,
230 τὸ ξένον θαῦμα ἐν κόσμῳ,
πῶς θηλάζεις τὸν τρέφοντα πάντα,
ὡς οἶδεν ὃν τέτοκας,
θεοχαρίτωτε δέσποινα.

207 πόλιν] ποίμνην De 213-219 pro hoc trop. Cv praebet: Τὴν λύπην / τῶν παρόντων ἐν κινδύνοις / εἰς χαρὰν μετάβαλε· / τυφλοῖς τὸ βλέπειν παρέχοις / καὶ λωβοῖς τὴν ὑγιείαν ἐφαπλῶν / καὶ τοῖς δαιμονιῶσι, / μεγαλομάρτυς Θεόδωρε. 215 παράστηθι] δωρούμενος De 220 Σέβωμεν verbum difficile lectu in Cv 226 κἂν] κὰν Mf De καὶ Cv κηρύττεται] μερίζεται De Cv 227 Ὡς μήτηρ De Cv 230 τὸ ξένον ἐν κόσμῳ θαῦμα Cv 231 πάντα] τὸ πᾶν De 232-233 ἁγνὴ πεφυλαγμένη / ὡς οἶδεν μόνος ὃν τέτοκας De ὡς μόνος ἴδεν ὃν τέτωκας Cv

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν ὡραιότητα*

Ῥήτωρ ἐν ῥήτορσι,
μάρτυς ἐν μάρτυσι
πράξει τῶν λόγων σου
f. 102v || καὶ τῶν ἀγώνων φανεὶς
5 — ἐξ ἀμφοτέρων γάρ, σοφέ,
τὸν ἐχθρὸν θριαμβεύσας —
γέγονας φερώνυμον
θεῖον δῶρον τοῖς ἔχουσι
πιστῶν καταφύγιον
10 καὶ παθῶν ὀλετήριον·
διό σε καταχρέως, Θεόδωρε, δοξάζει
γνησίως τὰ πέρατα.

ᾠδὴ ζ'. *Μὴ παραδώῃς ἡμᾶς*
εἰς τέλος διὰ τὸ ὄνομά σου
καὶ μὴ διασκεδάσῃς
τὴν διαθήκην σου
5 *καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου*
ἀφ' ἡμῶν, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν,
ὁ ὑπερύμνητος εἰς τοὺς αἰῶνας.

Μὴ παραδώῃς ἡμᾶς
235 εἰς χεῖρας ἐχθρῶν ἀνόμων,
μὴ εἴπωσι « ποῦ ἐστιν

heirm. καθ. MR IV, 179 Post odem ς' Cv refert: Κονδάκιον. Ἦχος β'. *Τὰ ἄνω ζητῶν* Ἀνδρείᾳ ψυχῆς ... Ὁ οἶκος. Τῶν ἀθλητῶν τὸ ἔκλαμπρον κάλλος ... = MR III, 542; κάθ. in De om.

heirm. ζ' EE 106, n. 149, Andreae; Cv tantum 1-2 vv. heirm. tradit, De, vero, tantum primum v. refert 234-241 Cv hoc trop. refert: Μὴ ἀποστρέψῃς ἡμᾶς [1] / ἀμοίρους τῆς ἀντιλήψεώς σου, / ἀλλ' ἔπιδε [2] καὶ σπεῦσον / εἰς τὴν βοήθειαν ἡμῶν / σπουδαίως παρέχων τὸ ἔλεός σου, / ἀθλητὰ Θεόδωρε, / τοῖς ἐν πίστει πεποιθόσιν εἰς σέ, / δι' ὧν καὶ ὑπὲρ ὧν παρακαλοῦμέν σε [3]; idem trop. post v. 241 refert De ([1] ἡμᾶς] κενοὺς De [2] ἀλλ' ἔπιδε] ἀλλφηδὲ Cv [3] σε om. De) 235 ἀνόμων] ἀγαριναίων De

234 Lev. 26,25; Ps. 40,2

ὁ λυτρωτὴς αὐτῶν Θεός »,
ἀλλ' ἴδωσι, μάρτυς, τὴν σὴν ῥομφαίαν
ἐν τῇ χειρί σου στίλβουσαν
f. 103 240 καὶ τιτρώσκουσαν καρ‖δίας αὐτῶν,
Θεόδωρε Χριστοῦ μεγαλομάρτυς.

Οἱ ἐν βυθῷ πειρασμῶν
καὶ νόσοις καὶ ἐν λιμῷ καὶ δίψῃ
κυκλούμενοι καὶ πάσαις
245 ἐπερχομέναις συμφοραῖς
εἰς σὲ τὸν προστάτην καὶ εὐεργέτην
ἀκινδύνως προστρέχομεν
καθ' ἑκάστην, ἀλλ' ἐπάκουσον,
Θεόδωρε, δι' ὧν σε ἐξαιτοῦμεν.

250 Ἐπικαλοῦμαι τὴν σὴν
πρεσβείαν ἐν συμφοραῖς καὶ θλίψει,
Θεόδωρε τρισμάκαρ·
διὸ ταχέως ἐπιστὰς
διάλυσον ταύτας μεταρρυθμίζων
255 εἰς γαλήνην, ἅγιε·
τὰ συμφέροντα διδοῦ μοι ἀεὶ
ὡς ἔχων πρὸς Θεὸν τὴν παρρησίαν.

Ἡ οἰκουμένη βοᾷ
τὴν χάριν τῶν ἱερῶν λειψάνων,
260 τὰ πλήθη τῶν θαυμάτων σου,
ἀθλοφόρε ἀθλητά,
f. 103v ἃ σὺ καθ'‖ἑκάστην ἐν πάσῃ χώρᾳ
ἐκτελεῖς, Θεόδωρε,
τῇ δυνάμει τοῦ κυρίου σου,
265 δι' οὗ καὶ ὑπὲρ οὗ τὸ στέφος ἦρας.

---

239 ἐν χερσίν σου στ. De 241 θεόδωρε δι' ὧν σε ἐξαἴτοῦμεν De 247 ἀκινδύνως] ἀκλινῶς Cv 250-257 pro hoc trop. Cv tradit: Διὰ παντὸς εἰρήνην / παρέχων τοῖς ἐπικαλουμένοις / ἐν γῇ καὶ ἐν θαλάσσῃ / καὶ ἐν ἡμέρᾳ καὶ νυκτὶ / παρέχεις σπουδαίως, τὴν ἔχθραν λύων / καὶ συνάπτεις ἅπαντας / εἰς ἑνότητα θεάρεστον, / μαρτύρων ἡ τιμὴ καὶ ἀθλοφόρων. 250 Ἐπικαλοῦμεν Mf 251 καὶ θλίψει] ὑπάρχων De 254 ταύτην De 256 διδοῦς De 258-265 trop. om. Cv 258 βοᾷ] ἀεὶ De 260 σου om. De 261 ἀθλοφόρε] καὶ ἰαμάτων De 262 ὧν σοι De

---

237 Ps. 77,35 238 Ps. 7,12 253 Ps. 72,28 257 Philem. 8

τριαδ. Ὥσπερ ἡλίοις τρισὶ
δοξολογοῦμεν πατέρα,
υἱὸν καὶ θεῖον πνεῦμα,
φῶς τριλαμπέστατον ἀεί,
270 ζωὴν καὶ ζωάς τε ἀνακηρύττω
ἐν μιᾷ θεότητι
τὴν Τριάδα ὁμοούσιον,
ὁμόθρονον ἀρχὴν καὶ βασιλείαν.

θεοτ. Ῥερυπωμένῃ ψυχῇ
275 καὶ γλώττῃ καὶ λογισμῷ καὶ βίῳ
τὴν ἄχραντον μητέρα
τοῦ βασιλέως καὶ Θεοῦ
ἀπαύστως ὑμνοῦμεν,
δι' ἧς ἐκ σκότους
280 πρὸς τὸ φῶς μετήχθημεν·
δι' αὐτῆς γὰρ φυλαττόμεθα
ἐκ πάσης τοῦ ἐχθροῦ κακοβουλίας.

ᾠδὴ η'. *Τὰ σύμπαντα, δέσποτα,*
τῇ σῇ σοφίᾳ συνεστήσω,
γῆς δὲ πάλαι ἥδρασας
ὡς οἶδας τὸν πυθμένα
f. 104 ‖ *τὴν βάσιν πηξάμενος*
6 *ἐφ' ὑδάτων ἀπείρων·*
διὸ πάντες βοῶμεν
ἀναμέλποντες·
« εὐλογεῖτε, τὰ ἔργα κυρίου,
10 *ἀπαύστως τὸν κύριον ».*

Ἐν πίστει τιμῶμέν σε,
μεγαλομάρτυς τοῦ κυρίου,

266-267 Ὡς ἐν ἡλίοις τρισὶν / δοξάζω θεολογῶν πατέρα De Cv (δοξάζων θεολογῶ Cv) 269 ἀεὶ] ἐστιν De 270 ἀνακηρύττω] ἀεὶ κηρύττω De 273 ἀρχὴν] ἀεὶ Cv

heirm. η' EE 105, n. 147, Andreae; Cv tantum 1-2 vv. heirm. refert, De autem tantum primum v. praebet 3 πάλαι] πάλιν EE 5 τῇ βάσει EE 6 ἐπὶ ὑδάτων EE; De trop. odis η' hoc ordine tradit: 1, (χ), 2, 3, 6, 7. 283 πίστει] ὕμνοις De

---

277 I Joh. 3,21

285 ἔνδοξε Θεόδωρε,
τῶν ἀθλητῶν ἡ δόξα,
δικαίων τὸ καύχημα,
ἱερέων τὸ κλέος
καὶ ἡμῶν ὁ προστάτης,
290 ἐν ταῖς θλίψεσιν,
ἐν ἡμέρᾳ πολέμου, παμμάκαρ,
ἡμῖν ὑπερμάχησον.

Προσδέχου τὴν δέησιν
τῶν ἐκτενῶς παρακαλούντων
295 σὲ τὸν πολυθαύμαστον
καὶ ἀληθῆ προστάτην
τὸν πάσας διώκοντα
ἀσθενείας καὶ πάθη
καὶ βοήθησον τούτοις,
300 ὅτι δύνασαι
πρὸς Θεὸν μεσιτεῦσαι καὶ σῶσαι,
ὡς βούλῃ, Θεόδωρε.

Ἡ πόλις σου, ἅγιε,
f. 140v μεγαλοφώνως σοι ‖ κραυγάζει·
305 « βοήθει πρὸς κύριον
ὑπὲρ ἡμῶν πρεσβεύων,
μὴ δείξῃς με ἔρημον
τῶν ἐμῶν οἰκητόρων,
μήτε παύσῃ ὁ ὕμνος
310 ἐν τῷ οἴκῳ σου,
ἀλλὰ πάντοτε δόξης πληρούσθω
Χριστοῦ τῷ ὀνόματι ».

Ἐν πᾶσι συμβαίνουσι
σὲ παρακαλούμεθα γενεαί,

---

290 ἀλλ' αὐτὸς post θλίψεσιν add. De Cv 291 παμμάκαρ om. De Cv 293-312 trop. om. Cv Post v. 292 De hoc trop. refert: Λιμὴν ἀκατάλυτος / τῶν ἐν βυθῷ κινδυνευόντων, / ἥλιος, Θεόδωρε, / τοῖς ἐν τῷ σκότει οὖσιν, / χαρὰ τῶν ἐν θλίψεσιν, / ἰατρὸς τῶν ἐν νόσοις / καὶ τυφλῶν βακτηρία / ἀναδέδειξαι· / διὸ σπεῦσον καὶ ῥῦσαι / βαρβάρων τὴν ποίμνην σου, ἅγιε. 297 πάσι De 298 ἀσθ. καὶ νόσους De 303 πόλις] ποίμνη De 305 βόσον (sic) De 306 ἐμοῦ De 309 μήδε De 313-322 trop. om. De

315 δοῦλοι καὶ ἐλεύθεροι,
ξένοι καὶ τεθλιμμένοι,
πτωχοί τε καὶ πλούσιοι,
ἱερεῖς καὶ λευῖται,
μονασταὶ καὶ μιγάδες
320 καὶ αἰχμάλωτοι
λυτρωθῆναι ταῖς σαῖς ἱκεσίαις
παντοίων κακώσεων.

Οὐδεὶς προσκαλούμενος
τὴν σὴν ἐπίκλησιν, θεόφρον,
325 πένθει συνεχόμενος
ἢ πειρασμῷ καὶ θλίψει
ἀπέτυχεν, ἔνδοξε,
τῆς ἐλπίδος, ἀλλ' εὗρεν
προσδοκίας τὴν δόσιν
330 ὧν ἐξήτησε
f. 105 καὶ ‖ ἡμᾶς ἐκ θανάτου βαρβάρων
ταχέως ἐκλύτρωσαι.

τριαδ. Ζωήν τε καὶ ζωὰς ἡμῶν,
φῶτα καὶ φῶς θεολογοῦμεν
335 σὲ τὴν ὁμοούσιον
παναγίαν Τριάδα
αἰσχύνοντες Ἄρειον
καὶ Σαβέλλιον ἅμα
τοὺς εἰς σὲ βλασφημοῦντας
340 καὶ κηρύττομεν
ἀδιστάκτῳ καρδίᾳ τὸ μέγα
καὶ ἅγιον κράτος σου.

θεοτ. Ὁ ἄνω ἀόρατος
ἀγγελικαῖς χοροστασίαις
345 κάτω θεωρούμενος
ἐν δουλικῇ μορφώσει

323-332 trop. om. De Cv 333 τε om. De Cv ἡμῶν] ὁμοῦ De Cv 336 τριάδα παναγίαν De Cv 337 αἰσχυνέσθω ἄρειος Cv 338 σαβέλλειον De σαβέλλιος Cv 340 κηρύττωμεν Mf κυρίττωμεν Cv 342 καὶ θεῖον σου ὄνομα De κράτος σου] βάπτισμα Cv 345 κάτωθεν ὁρόμενος De κάτω δὲ ὁρόμενος Cv 346 ἐν] καὶ De Cv μορφώσει] μορφῇ σου Cv

τὴν σάρκα ἐνδύεται
ἐκ παρθένου ἁγίας,
ἀλλοιώσας οὐδόλως
350 τὴν θεότητα,
ἀλλὰ μείνας ἀτρέπτως τῇ φύσει
κἂν ὤφθη ὡς ἄνθρωπος.

ᾠδὴ θ'. *Ὅτι ἐποίησέ μοι μεγαλεῖα*

Ἐν σοὶ πᾶσαν ἐλπίδα
μετὰ κύριον, ἀθλητά,
355 ἐθέμεθα· βοήθησον ἡμῖν
ἐν ἀνάγκῃ πειρασμῶν
f. 105ᵛ καὶ ἀπὸ ‖ πάσης ἐξελοῦ
συκοφαντίας δεινῆς.

Ἀξίως ἐδοξάσθης,
360 ἀθλητὰ Θεόδωρε,
ὡς δόξαν τὴν ματαίαν παριδὼν
καὶ ποθήσας τὸν Χριστόν·
διὸ καὶ νῦν τοὺς σὲ τιμῶντας
ἀντιδόξασον.

365 Ὑφορώμεθα θλίψεις
ἐκ πολλῶν πταισμάτων ἡμῶν·
διέγειρον, Θεόδωρε, σὺν σοὶ
τὸν χορὸν τῶν ἀθλητῶν
σὺν ἀποστόλοις δυσωπῶν
370 ὑπὲρ ἡμῶν τὸν Χριστόν.

Παράσχου σου τοῖς τέκνοις
ὡς πατήρ, Θεόδωρε,
ὑγιείαν, εὐεξίαν, χαρμονήν,

---

352 κἂν] καὶ De
heirm. θ' EE 106, n. 149, Andreae De trop. odis θ' hoc ordine refert: 1, 4, 6, 5, 7, 8. 356 πειρασμοῖς De 359-370 trop. om. De 364 διάσωσον Cv 365-376 trop. om. Cv 365 Ὑφορούμεθα Mf 371 σου τοῖς] τοῖς σοῖς De

ἱλασμὸν ἁμαρτιῶν,
375 ἀπολυτρούμενος ἡμᾶς
ἐκ πάσης θλίψεως.

Ὡς ἔχων παρρησίαν
πρὸς Θεὸν τῶν ὅλων ἀεὶ
τὰ τόξα καὶ ῥομφαίας τῶν ἐχθρῶν
380 τῇ στερρᾷ σου δεξιᾷ
καὶ τῇ πρεσβείᾳ σου
συντρίψας ἀπολίκμησον.

f. 106 ‖ Τοὺς ψάλλοντας ἐκ πόθου
ἐν τῷ σῷ ναῷ, ἀθλητά,
385 ἐκ πάσης ἐργασίας πονηρᾶς
καὶ ἐχθρῶν ἐπιβουλῆς
καὶ χαλεπῶν ἁμαρτιῶν
ῥῦσαι πρεσβείαις σου.

τριαδ. Ἑνίζεται τῇ φύσει
390 καὶ μερίζεται ἡ Τριὰς
προσώποις, ἀλλ' ἀμέριστος ἐστὶν
τῇ οὐσίᾳ καὶ μορφῇ·
εἷς γὰρ Θεὸς πατήρ, υἱὸς
καὶ πνεῦμα ἅγιον.

θεοτ. 395 Νικᾶται πᾶσα φύσις
ἐπὶ σοί, παρθένε ἁγνή·
ἀσπόρως γὰρ ἐγέννησας υἱόν,
ὃν ὑμνεῖ τὰ Χερουβὶμ
καὶ Σεραφὶμ δοξολογεῖ
400 καὶ προσκυνεῖ πᾶς βροτός.

---

381 σοφέ post σου add. De Cv 382 ἀπολίκμησον] ὄλεσον De Cv 383-388 trop. om. Cv 389 ἡ φύσις De 391 προσόποις ἀλλὰ μένη ἀμερὴς Cv ἐστὶν] σεπτῇ Mf 395 Νικᾶται ἡ φύσις Mf 397 υἱὸν] θεὸν De

---

377 Philem. 8 379 Jos. 24,12 382 Da. 2,44.

8 FEBR. *CANON* X

IN SANCTUM THEODORUM STRATELATEM

Crypt. Δ.δ. II = De, ff. 40v-46

Ἕτερος κανών, ⟨οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς θεοτοκίοις· Εὐθυμίου⟩.

Ἦχος δ'.

1 ‖ ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

Ὡς φερωνύμως τὴν κλῆσιν
προσειληφὼς ἄνωθεν,
μάρτυς Χριστοῦ, τῶν δωρεῶν
δίδου μοι χάριν πρεσβείαις σου
5 τὴν εὐκλεῆ καὶ σεβάσμιον
ἄθλησιν
κατακοσμῆσαί σου τερπνῶς
ἐνθέοις ᾄσμασιν.

Δόγμα θηρὸς ἀντιθάσσου
10 θεοστυγὲς σέβεσθαι
λίθους καὶ ξύλα τοὺς λαοὺς
καὶ θεραπεύειν τοὺς δαίμονας

tit. Ἕτερος κανὼν τοῦ ἁγίου Θεοδώρου τοῦ Στρατηλάτου. Ἦχος δ'. Οὗτος ὁ κανὼν ψάλλεται εἰς τὸν ὄρθρον, ὅτι ὁ ἕτερος παρακλητικός ἐστιν, cf. canonem IX. Εὐθυμίου deducitur e litteris capitalibus θεοτ. sed rubrica silet
heirm. α' EE 106, n. 149, Andreae

9-13 DELEHAYE, *Les légendes*, (I) 151^{1-10}; (IV) 168^{11-23}; [VAN HOOFF], *Acta s. Theodori*, Anal. Boll. 2 (1883), 360^{5-18}; LATYŠEV, *Menologii*, I, (a) 29^{26-28}.

1 Philip. 3,14 4 Gen. 39,4; Rom. 12,6

τῇ Ἡρακλείᾳ ἐφύτευσεν
<´ — —
15 — — — ´ — — — ´
´ — — ´ — —>.

Σὺ τὴν ἐπίγειον πτύσας
τῶν δυσσεβῶν, κράτιστε,
στρατολογίαν καὶ ζωήν,
20 τὴν τῶν ἀγγέλων ἐπόθησας
ὡς τῷ Θεῷ οἰκειοῦσάν σε,
ἧσπερ οὖν
καὶ τετευχὼς νῦν εὐωχεῖς,
μάρτυς Θεόδωρε.

θεοτ. 25 Ἐκ φωτεινῆς σου νηδύος
f. 41v ὁ τοῦ πατρός, δέσποι‖να,
υἱὸς καὶ Λόγος ἀνασχών,
τὴν κτίσιν πᾶσαν ἐφώτισεν
θεογνωσίᾳ, πανάχραντε·
30 ὄντως γὰρ
αἱ γενεαὶ τῶν γενεῶν
σὲ μακαρίζομεν.

ᾠδὴ γ'. *Μὴ καυχάσθω ὁ καυχώμενος*

Τοῦ κυρίου τὰ παθήματα
μαρτυρικῶς ἐμορφώθης, πανεύφημε·
35 καὶ γὰρ ἐν ξύλῳ ἐπανηρτήθης
καὶ ἥλοις τέτασαι
καὶ τοῖς τόξοις ἐλλογχευθεὶς
συνδεδόξασαι τῷ βραβευτῇ σου Χριστῷ.

14-16 ὅπερ οὖν / καὶ τετευχὼς νῦν εὐοχεῖς / μάρτυς θεόδωρε, cf. vv. 22-24
22 οἷσπερ νῦν 32 μακαρίζωμεν
heirm. γ' EE 106, n. 149, Andreae

33-38 DELEHAYE, *o.c.*, (I) 132^{1-7}; 133^{14-21}; (II) 144^{8-16}; 145^{9-14}; (III) 161^{5-9}; 161^{12-18}; 162^{21-26}; 163^{8-12}; (IV) 176^{11-14}; (V) 192^{4-10}; [VAN HOOFF], *o.c.*, *l.c.*, 364^{19-35}; LATYŠEV, *o.c.*, (a) 33^{5-31}.

17 Col. 3,1-2 38 Rom. 8,17

Οἷα φοῖνιξ, παμμακάριστε,
40 καταχομῶν ἐν τοῖς ἄθλοις προσήνεγκας
καρποὺς γλυκεῖς τε τῶν σῶν ἀγώνων
Χριστῷ, Θεόδωρε,
οὓς ἐκθλίβοντες οἱ πιστοὶ
ποτιζόμεθα οἶνον εὐφρόσυνον.

45 Τὴν θεόσδοτον ἀνδρείαν σου
ἐνηχηθεὶς ὁ παράφρων Λικίνιος
42 μανεὶς ὑ||πούλως ὁ τάλας στέλλει
τοῦ συλλαβέσθαι σε
καὶ τὸν ἐκλεκτόν σου λαόν,
50 ὃν ἐφώτισας ἐν τῷ βαπτίσματι.

στ. Ὑπὲρ ἔννοιαν ἡ σύλληψις
καὶ ὑπὲρ λόγον ὁ τόκος σου πέφυκεν·
Θεὸν γὰρ ὄντως ἀνθρωπισθέντα
ἐκ σοῦ προήγαγες,
55 πανυπέρτατε Μαριάμ,
ὃν ἱκέτευε τοῦ σῶσαι πάντας ἡμᾶς.

ᾠδὴ δ'. *Ἀκήκοεν ὁ προφήτης*

Κατὰ Μωσέα τὸν μέγαν
θεοφανείας ἔτυχες, μάρτυς κυρίου·
τῷ οἰκίσκῳ γὰρ σχολάζοντι

---

39 παμμάριστε 41 καρποὶ γλυκύτε τῶν σῶν ἀγώνων 43-44 καὶ τὸν ἐκλεκτόν σου λαὸν / ὃν ἐφώτισας ἐν τῷ βαπτίσματι, cf. vv. 49-50 46 λυκίνιος scriba hac forma utitur 47 ὑπόλως 49-50 οὓς ἐκθλίβοντες οἱ πιστοὶ / ποτιζώμεθα οἶνον εὐφρόσυνον, cf. vv. 43-44
heirm. δ' TR, 66

45-50 DELEHAYE, *o.c.*, (III) 156^{28-31}-157^{1-10}; (IV) 169^{12-13}; [VAN HOOFF], *o.c.*, *l.c.*, 362^{12-19}; LATYŠEV, *o.c.*, (a) 29^{29-31}.
57-62 DELEHAYE, *o.c.*, (I) 130^{16-22}; (II) 142^{18-31}-143^{1-3}; (III) 158^{9-16}; (IV) 170^{16-25}; [VAN HOOFF], *o.c.*, *l.c.*, 362^{32-33}-363^{1-6}; LATYŠEV, *o.c.*, (b) 89^{8-13}.

---

39 II Regn. 16,2 41 Cant. 2,3 43 Gen. 40,11 44 Ps. 59,3
57 Ex. 3,1-4

60 οὐρανόθεν
ἤχθη σοι φωνὴ ὡς βολὶς
πυρὸς λέγουσα·
« θάρσει· μετὰ σοῦ γάρ εἰμι ».

Τοῦ Ἰησοῦ, στρατηγέτα,
65 τὸ τοῦ Ναυὴ ἠρίστευσαι ταῖς ἀριστείαις·
τὰ τεμένη γὰρ κατέαξας
τῶν δαιμόνων
f. 42v συντρίψας || τοὺς οἰκοῦντας θεοὺς
ὡς πόλεις ἐθνῶν
70 ῥώμῃ κραταιᾷ τοῦ Χριστοῦ.

Τὸν Γεδεὼν ἐν τῇ πίστει,
εἰσδὺς εἰς τὸ στράτευμα τῶν μισοχρίστων
ὑπερέβαλες, φερώνυμε,
τῇ Τριάδι
75 τούτους τροπωσάμενος
τῆς ἑκατοστύος
τῶν σὺν σοὶ μαρτύρων Χριστοῦ.

θεοτ. Θεοῦ σε πύλην καὶ θρόνον,
ναὸν καὶ στάμνον ἅγιον, φωτὸς νεφέλην
80 καὶ χρυσοῦν θυσιαστήριον
οἱ προφῆται
πάντες ἐμελῴδησαν,
ἡμεῖς δέ σε νῦν
θεοτόκον παναληθῆ.

ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, κύριε,*

85 Συνέσει θείᾳ, φέριστε
Θεόδωρε, κοσμούμενος

---

69 πόλις 76 τῆς ἑκατοστῶν 79 ἅγιον pro ἁγίαν νεφέλη
heirm. ε' EE 106, n. 149, Andreae

66-70 DELEHAYE, *o.c.*, (I) 129^{6-25}; (II) 140^{26-30}-141^{1-11}; (III) 159^{18-26}; 160^{7-16}; (IV) 172^{13-15}; 173^{19-22}; [VAN HOOFF], *o.c.*, *l.c.*, 363^{24-34}-364^{1-2}; LATYŠEV, *o.c.*, (b) 88^{13-24}.

64-65 Ex. 17,9 71-72 Jud. 7,19

τοῦ μανιώδους κατεφρόνησας
τυράννου τῆς ἀλόγου
προσταγῆς, ὡς βέβηλον
90 τὴν αὐτοῦ δυσσέβειαν
στηλιτεύων πανταχοῦ.

f. 43 ‖ Φρυκώμενος ὁ ἄνομος
ὡς λέων θηριώτατος
διακενῆς θεομαχούμενος,
95 ὁ μάρτυς ἀνεβόα·
« ἀλλ' ἐγὼ φαιδρύνομαι
καὶ ψυχῇ καὶ σώματι
τὸν Χριστὸν ὁμολογῶ ».

Τὸν Ἄβελ ἐκμιμούμενος
100 τοῖς δώροις, ἡλιόμορφε,
θῦμα δεκτὸν σαυτὸν προσήγαγες,
Θεόδωρε, κυρίῳ •
ἱερὸν καὶ ἄμωμον
καὶ ὁλοκαυτούμενον
105 τῶν βασάνων τῷ πυρί.

θεοτ. Ὑπάρχουσα, πανθαύμαστε,
παρθένος πῶς ἐν μήτρᾳ σου
ἀγεωργήτως ἀπεκύησας
Χριστὸν τὸν βασιλέα;
110 ὡς αὐτὸς ἐπίσταται
ὁ Θεὸς καὶ ἄνθρωπος
προελθὼν ὑπερφυῶς.

ᾠδὴ ϛ'. *Ἐν πελάγει τοῦ βίου*
ταῖς πράξεσί μου

Ἐκ πελάγους καὶ ζάλης
εἰδωλοθύτων

---

87 κατευφρόνησας   89 βέβηλος   92 Φρυκόμενος   94 διακενὴς   96 φαιδρύνωμαι   107 παρθένε   110 ὃς
heirm. ϛ' EE 106, n. 149, Andreae

99-100 Gen. 4,4   101 Lev. 17,4; Philip. 4,18

115 αἱμάτων ἀνήχθης
ὡς ὁ προφήτης, ἀθλητά, κραυγάζει·
« ἴδε ἔτι ὡς θῆρες
f. 43v ‖ ἀγρίως κατέλυσάν μου,
ὁ Θεός, διὰ σὲ τὸ σῶμα ».

120 Ἐξ ἀνθῶν πολυχρόων,
φλογῆς ὀστράκων,
ὀνύχων σιδηρῶν
ὁ βραβευτής σου Ἰησοῦς τὸ στέφος
ἡτοιμάσατο, μάρτυς,
125 τῆς νίκης τὰ ἔπαθλα
διὰ σοῦ ἐξ οὐρανοῦ παρέχων.

Ζηλωτὴς πορνοκτόνος
τῆς ἀθεΐας
τῶν εἰδωλομανῶν
130 σὺ ἀνεδείχθης, ἀθλοφόρε, ἄλλος
ἐκκεντήσας τὴν πλάνην
καὶ στήσας τῷ σειρομάστῃ
τοῦ Χριστοῦ τῶν πιστῶν τὴν θραῦσιν.

θεοτ. Μορφωθέντος σου, Λόγε,
135 τὴν ἀνθρωπίνην
οὐσίαν συμπαθῶς,
τὴν δι' ἀπάτης συσχεθεῖσαν τῇ φθορᾷ,
ἀναπλάττεις καὶ σῴζεις
γενάρχης ὡς παντουργέτης
f. 44 140 ‖ καὶ Θεὸς ἐκ μητρὸς ἁγίας.

---

129 εἰδολομάνων   134 Μορφωθέντα   137 συσχεθέντα

121-122 DELEHAYE, *o.c.*, (III) 161; [VAN HOOFF], *o.c.*, *l.c.*, 364$^{19-26}$; LATYŠEV, *o.c.*, (b) 89$^{35-36}$.

---

132 Num. 25,7

ᾠδὴ ζʹ. *Τῇ εἰκόνι τῇ χρυσῇ*
μὴ προσκυνήσαντες ⟨*παῖδες*⟩

Τοῖς εἰδώλοις τοῖς χρυσοῖς
τοῦ Λικινίου μὴ θύσας
ἀλλὰ καὶ θλάσας ἐδοκιμάσθης
οἷα χρυσὸς ὡς ἐν τῇ χωνείᾳ
145 τῶν λαμπάδων τοῦ πυρὸς
καὶ τῶν σιδήρων τοῖς ξεσμοῖς
καὶ τῶν ὀστράκων τόξοις
καὶ εὐριζώθης, σοφέ,
ψυχῇ καὶ σώματι.

150 Τῷ σταυρῷ καὶ ταῖς σφαγαῖς
καὶ τῇ τῶν τόξων ἐπάρσει
τὸ σῶμα ὅλον κατασταχθείς, παμμάκαρ,
τοῦ Ἰησοῦ ἀληθῶς ἐγένου
μαθητὴς καὶ μιμητής,
155 μεγαλομάρτυς, τὸ στερρὸν
δεικνύων τοῖς ἀνόμοις
τῆς πρὸς αὐτόν σου ἀεὶ
ἀγάπης εἰλικρινοῦς.

Καταχρέως σου πιστῶς
44ᵛ 160 τὴν θείαν ‖ μνήμην τελοῦντες,
μάρτυς κυρίου ἀξιοθαύμαστε,
ἐν τῷ ναῷ σου εὐσεβοφρόνως
ἀσπαζόμεθα ἀεὶ
τὴν σορὸν καὶ τὴν ταφὴν

heirm. ζʹ EE 107, n. 150, Andreae 157 τοῖς πρὸς αὐτήν σοι ἀεὶ

141-147 DELEHAYE, *o.c.*, (I) 129$^{6-22}$; 132$^{1-7}$; (II) 140-141; 144$^{8-16}$; (III) 159$^{18-26}$; 161-162; 163$^{3-12}$; (IV) 172-174; [VAN HOOFF], *o.c.*, *l.c.*, 363-364; LATYŠEV, *o.c.*, (a) 31$^{12-24}$; (b) 89$^{35-36}$.
150-152 DELEHAYE, *o.c.*, (I) 132$^{1-7}$; (II) 144$^{4-16}$; (III) 162-163; (IV) 176$^{11-16}$; (V) 192$^{4-11}$; [VAN HOOFF], *o.c.*, *l.c.*, 364$^{19-35}$; LATYŠEV, *o.c.*, (a) 33$^{5-31}$; 35$^{11-28}$

142-143 Sap. 3,6

165 τῶν λειψάνων τῶν θείων,
ἐξ ὧν πηγάζεις ἡμῖν
ἰάσεων δωρεάς.

θεοτ. * [Τὸν σωτῆρα καὶ Θεὸν
καὶ λυτρωτὴν καὶ δεσπότην
170 σαρκὶ τεκοῦσα, πάναγνε δέσποινα,
τοῦτον ἀεί, ἄχραντε, δυσώπει,
ὅπως λύσιν τῶν δεινῶν
καὶ παθῶν ἀπαλλαγὴν
πάντες ἡμεῖς λάβωμεν
175 ὑμνολογοῦντες αὐτοῦ
τοὺς ὑπὲρ νοῦν οἰκτιρμούς.]

ᾠδὴ ηʹ. *Τὰ σύμπαντα,* ⟨*δέσποτα,*⟩

Ὁ τύραννος πέπτωκεν
καὶ κατησχύνθη ὁ Βελίαρ,
ὅτι περ τὰ εἴδωλα
180 ὁ μάρτυς τοῦ κυρίου
λεπτύνας κατέαξεν
f. 45 καὶ τοῖς πένησι νύ‖κτωρ
διαδοὺς ἀποφέρει
ὡς ἀναίσθητα,
185 μᾶλλον δὲ ὑπὲρ ταῦτα τοῖς ταῦτα
ἀλόγως οὖν σέβουσιν.

Σοῦ τὸ καρτερώτατον
καταπλαγείς τε ὁ Λικίνιος
παῖδας ἐπενόησεν
190 τοξεύειν σε πανούργως,

165 τὰ λείψανα 167 δωρεαῖς 168-176 θεοτ. PaR, 309, quod interpolatum puto 173 καὶ πολλῶν ἁμαρτιῶν PaR 174 τὴν ἄφεσιν λαβόντες PaR 175 ὑμνολογῶμεν PaR
heirm. ηʹ EE 105, n. 147, Andreae

177-186 DELEHAYE, *o.c.*, (II) 159$^{18-26}$; 160$^{4-16}$; (IV) 172-173; [VAN HOOFF], *o.c.*, *l.c.*, 363-364; LATYŠEV, *o.c.*, (a) 31$^{12-14}$.
187-196 DELEHAYE, *o.c.*, (III) 163$^{3-12}$; (IV) 176$^{14-18}$; [VAN HOOFF], *o.c.*, *l.c.*, 364$^{25-35}$; LATYŠEV, *o.c.*, (a) 33$^{5-31}$.

Θεόδωρε ἅγιε,
ἐκπλαγέντα τῷ ξύλῳ,
καὶ τὰς κόρας ἐκσπῶν σου
σὺν τοῖς βέλεσιν
195 ἀλλ' αὐτὸς εὐχαρίστως ἀνύμνεις
ἐν πίστει τὸν κύριον.

Νομίσας τεθνάναι σε
ὁ νεκρωτὴς τῆς εὐσεβείας
ἔστειλε λαβέσθαι σου
200 τὸ σῶμα, ἀθλοφόρε,
τοῖς περὶ Ἀντίοχον
καὶ σὲ ζῶντα εὑρόντες
καὶ ἠγάλλοντο λίαν
τὴν σὴν ἔγερσιν,
205 « ὁ Χριστὸς μέγας ὄντως ὑπάρχει »
προθύμως ἐκραύγαζον.

θεοτ. Ὁ κτίστης καὶ κύριος
καὶ βασιλεὺς δι' εὐ||σπλαγχνίαν
τίκτεται καὶ τρέφεται
210 ἐκ κόρης ἀπειράνδρου
καὶ αὔξησιν δέχεται
ὁ παντέλειος ὄντως,
ἵνα δείξῃ τῶν δύο
αὐτοῦ φύσεων
215 τὴν ἑνότητα φέρειν ἀφθάρτως,
Θεὸς ὢν καὶ ἄνθρωπος.

ᾠδὴ θ'. *Ἐποίησε κράτος*

Ἐποίησε νῖκος
ὁ ὁπλίτης τοῦ Χριστοῦ

---

198 ἀσεβείας
heirm. θ' ΕΕ 106, n. 149, Andreae

197-206 DELEHAYE, *o.c.*, (III) 164-165; (IV) 178-179; [VAN HOOFF], *o.c.*, *l.c.*, 365-366; LATYŠEV, *o.c.*, (a) 34$^{6-27}$.

συντρίψας σθένει τόξα τῶν ἀνόμων
220 καὶ ἤλεγξεν ἀσεβῶν
τὴν ἐπίνοιαν στερρῶς,
μεθ' ὧν τὰς παγίδας τοῦ ἐχθροῦ
πεπατηκὼς ὑψώθη
κατευθύνας ἑαυτὸν
225 ἐν τῷ μαρτυρίῳ.

Παθών, ἀθλοφόρε,
τὸν σταυρὸν καὶ τὰς σφαγάς,
τὰ τόξα καὶ τὰς ξέσεις τῶν μελῶν σου,
τὰ τύμματα τὰ πικρὰ
230 τῶν βουνεύρων καὶ τὸ πῦρ
ὑπὲρ τοῦ παθόντος δι' ἡμᾶς
f. 46 Χριστῷ συ||νεδοξάσθης
εἰς αἰῶνας σὺν αὐτῷ
καὶ συμβασιλεύων.

235 Τὸν δρόμον τελέσας
τῆς ἀθλήσεως Χριστοῦ,
τὴν πίστιν δὲ τηρήσας ὡς ὁ Παῦλος
ἐτμήθης τὴν κεφαλήν,
στρατηλάτα, εὐκλεῶς·
240 διὸ καὶ ἐδέξω ἐκ Θεοῦ
τὸ στέφος, ἐπαξίως
εἰληφώς, συγχορευτὴς
πέλεις τῶν ἀγγέλων.

θεοτ. Ὑψώσωμεν ὕμνοις,
245 οἱ βροτοί, φιλευσεβῶς
ὡς πάντων ἀνωτέραν τῶν κτισμάτων

---

223 ὑψώθης

235-243 DELEHAYE, *o.c.*, (III) 166-167; (IV) 181-182; [VAN HOOFF], *o.c.*, *l.c.*, 367$^{8-16}$; LATYŠEV, *o.c.*, (a) 35$^{26-28}$.

235-237 II Tim. 4,7

τὴν μόνην ἐν γυναιξὶν
παντευλόγητον, ἁγνήν·
σωτηρία γὰρ καὶ ἱλασμός,
250 καταφυγὴ καὶ σκέπη
ἐγενήθη τοῖς πιστοῖς
ὡς Θεὸν τεκοῦσα.

249 σωτηρίαν ... ἱλασμὸν 250 καταφυγὴν ... σκέπην 251 ἐγενήθεις

IN SANCTUM BLASIUM EPISCOPUM SEBASTIAE

Synaxarium, 457: Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Βλασίου ἐπισκόπου Σεβαστείας καὶ τῶν σὺν αὐτῷ τιμίων γυναικῶν. Οὗτος ἦν κατὰ τοὺς καιροὺς Λικινίου τοῦ βασιλέως ἐπίσκοπος Σεβαστείας οἰκῶν ἔν τινι τῶν κατ' ὄρος σπηλαίων ἐν ᾧ τὰ ἄγρια τῶν ζώων ἐξημερούμενα διὰ τῆς εὐλογίας τοῦ ἁγίου χειροήθη ἐφαίνετο. Ὢν δὲ καὶ τῆς ἰατρικῆς τέχνης ἔμπειρος πολλὰς ἐπετέλει ἰάσεις τὴν τῶν θαυμάτων ἐνέργειαν παρὰ τοῦ κυρίου λαβών. Οὗτος κατασχεθεὶς ἤχθη πρὸς τὸν ἡγεμόνα Ἀγρικόλαον· καὶ ὁμολογήσας τὸ ὄνομα τοῦ Χριστοῦ τύπτεται ῥάβδοις καὶ ἀναρτηθεὶς ξέεται. Εἶτα ἀπαγομένου αὐτοῦ ἐν τῇ φυλακῇ ἠκολούθησαν αὐτῷ γυναῖκες ἑπτά, αἳ τὰς κεφαλὰς ἀπετμήθησαν Θεὸν τὸν Χριστὸν εἶναι ὁμολογήσασαι. Ὁ δὲ ἅγιος Βλάσιος ἐν τῷ βυθῷ τῆς λίμνης βληθεὶς καὶ ὡς διὰ ξηρᾶς ἐπὶ τὴν χέρσον κομισθείς, ξίφει τὴν κεφαλὴν ἀπετμήθη μετὰ τῶν δύο βρεφῶν τῶν ὄντων μετ' αὐτοῦ ἐν τῇ φυλακῇ. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ μαρτυρείῳ τῷ ὄντι πλησίον τοῦ ἁγίου ἀποστόλου Φιλίππου, ἐν τοῖς Μιλτιάδου.

Crypt. Δ.α. XVI = Ci, ff. 62v-68

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ὕμνον, Βλάσιε, δέχου τοῦ παναθλίου.

f. 63 ‖ Ἦχος β'.

ᾠδὴ α'. *Ἐν βυθῷ κατέστρωσε* ⟨*ποτὲ*⟩

Ὑψηλῷ τῷ θρόνῳ παρεστώς,
πρέσβευε, πανίερε,
ἁμαρτιῶν ἄφεσιν δωρηθῆναί μοι,

tit. Ὁ κανὼν φέρων ἀκροστιχίδια· Ὕμνον (lege ὕμνοις). Βλάσιε, δέχου τοῦ παναθλίου; e tropariorum litteris capitalibus haec autem acrostichis deducitur: υμνον βλασιε δεχου του παναθλιου ισαα. Quinque canones pro s. Blasio refert cd.: Primus, quem huc proferimus canon.; secundus, inc. Οἱ εὐσεβῶς, cf. canonem XII; tertius, inc. Αἰνέσεως συμφωνίαν, cf. canonem XIII; quartus, inc. Τὴν χάριν τοῦ παναγίου, cf. canonem XIV; quintus, opus Josephi Hymnographi, inc.: Ὕμνοις τὴν φωσφόρον, cf. MR III, 564-569
heirm. α' EE 34, n. 46, Joannis

1 Is. 6,1 3 Matth. 26,28

καὶ τῆς ῥαθυμίας μου
5 τὸν ἀμέτρητον σκοτασμόν μου διάλυσον,
τὸν ἀγαθοδότην
κύριον, δεσπότην καὶ φιλάνθρωπον.

Μυηθεὶς σεπταῖς διαταγαῖς
τοῦ ἐνανθρωπήσαντος
10 ἐπὶ τῆς γῆς καὶ βροτοῖς ὁμιλήσαντος
παχύτητι σώματος
ὃν ἱκέτευε σαρκικοῦ με φρονήματος,
Βλάσιε θεόφρον,
ἀπολυτρωθῆναι ταῖς πρεσβείαις σου.

15 Νευρωθεὶς ἀγάπῃ τοῦ Χριστοῦ
τούτου τοῖς παθήμασιν
ἱερουργὸς ἀθλητὴς ἐχρηματίσας·
ὅθεν ἱκετεύω σε
τὰ ἀνίατα τῶν παθῶν μου βλαστήματα
20 ξήρανον πρεσβείαις
σοῦ ταῖς εὐπροσδέκτοις, παναοίδιμε·

θεοτ. Οἰκτιρμοῖς πλουσίοις σου, ἁγνή,
πενομένην πάντοθεν
τὴν ταπεινὴν ψυχήν μου καταπλούτισον·
25 ἄρτον τὸν οὐράνιον
ἡ τεκοῦσα γὰρ τοὺς βροτοὺς διαθρέψαντα,
θρέψον με πεινῶντα
ἄρτον νοητόν, θεοχαρίτωτε.

f. 63v || ᾠδὴ γ΄. *Ἐξήνθησεν ἡ ἔρημος*

Νόμους θείους τηρεῖν ἡμᾶς τοῦ δεσπότου,
30 Βλάσιε,
ἀπαρατρώτους πρέσβευε,

---

15 ἀγάπης
heirm. γ΄ EE 34, n. 46, Joannis

---

20 Matth. 13,6 25-28 Ex. 16,15; Joh. 6,31-35 29 Jac. 2,10

πράττειν τούτου τὰ δικαιώματα
καὶ φυγεῖν τῶν βασάνων τῶν ἐκεῖ χαλεπῶν.

Βοήθησον κινδύνοις περιπεσοῦσιν,
35 ἅγιε,
ἡμῖν τοῖς κινδυνεύουσιν,
καὶ ὀστώδεις πνίξεις ἐν φάρυγγι
ἐμπαρεῖσας εὐχαῖς σου ἐπικούφισον.

Λυτρωτήν σε θερμότατον πᾶς ὁ κόσμος
40 ἔχει σε
καὶ πρεσβευτὴν καὶ πρόμαχον
ὃν εὐχαῖς σου, Βλάσιε, φρούρησον
κυβερνῶν ἐν εἰρήνῃ τὴν ζωὴν ἡμῶν.

θεοτ. Ἀνάτειλον ἀκτῖνά μοι μετανοίας,
45 ἄχραντε,
καὶ φώτισον τὰ ὄμματα
τῆς ψυχῆς μου τὰ σκοτεινότατα,
ἡ τεκοῦσα τῷ κόσμῳ μέγα ἔλεος.

f. 64 Κάθισμα.

Ἦχος α΄. *Τὸν τάφον σου, σωτήρ,*

Ἀσκήσει καρτερῶς
προστομώσας τὴν σάρκα,
ἱέρευσας σαυτὸν
τῷ κυρίῳ προθύμως
5 ποιμὴν ἀξιάγαστος
ἀθλητής τε ὡς ἔννομος·
ὅθεν εἴληφας

---

33 φυγὴν 37 ὀστώδης πνίξης 38 ἐμπαρεῖσιν 44 μοι] με
heirm. καθ. PaR, 9; idem κάθ. in Bf Pp Cv Dd invenies, cf. canones XIII, XIV, XV 1 καρτερᾶ Bf 5 π. ἀληθέστατος Bf

---

37-38 cf. Latyšev, *Menologii*, I, 48-49, 329-330

---

6 II Tim. 2,5 7-8 I Tim. 5,17

διπλοῦν τὸ στέφος, παμμάκαρ,
καὶ τοῖς θαύμασιν
10 κατεκοσμήθης ἀξίως,
ἀοίδιμε Βλάσιε.

Ἄλλο.

Ἦχος β'. *Ἠλιοὺ ἐμιμήσω*

Φαεινὸς ἀνεδείχθης ὡς ἑωσφόρος
καὶ πυρὸς θείου ὄντως στῦλος, παμμάκαρ,
ταῖς ἀρεταῖς σου τὸν κόσμον ἐφώτισας
καὶ θαυμασίοις τοὺς πάντας ἐπλούτισας,
15 προπάτορ Βλάσιε·
διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν κύριον.

f. 64v || ᾠδὴ δ'. *Ἐλήλυθας ἐκ παρθένου*

Σωτηρίας
50 σὲ λιμένα ὁρῶντες ῥυσθείημεν,
πανίερε Βλάσιε,
τῶν συνεχόντων κακώσεων,
ζάλης καὶ κινδύνων τε
καὶ τῶν σκανδάλων τοῦ βίου
55 ἱκεσίαις σου.

Ἱερεῖον
σεαυτὸν τῷ Θεῷ προσενήνοχας,
δεσμά τε καὶ μάστιγας

8 διττὸν Pp Bf ἴδηττον Dd 10 ἀξίως] πλουσίως Pp
heirm. ἄλλου καθ. HC, 316
heirm. δ' EE 34, n. 46, Joannis troparia odis δ' hoc ordine praebet cd.; 2, 1, 3, 4

56-59 cf. LATYŠEV, *o.c.*, 48, 49, 50, 52, 329, 331, 332, 335, 336

13 Apoc. 10,1

ὑπενεγκὼν προθυμότατα·
60 ὅθεν ἱκετεύω σε
τὰ συνδεσμοῦντά με πάθη
ἀπομείωσον.

Ἐνεύρωσας
τῶν ἀπίστων καρδίας, θεόσοφε,
65 λίθον τὸν ἀκρόγωνον
ταύταις Χριστὸν ἐνστησάμενος,
ὃν καὶ ἐκδυσώπησον
ἐπιστηρίξαι τὸν νοῦν μου
σαλευόμενον.

θ στ. 70 Διάσωσον,
προστασία τοῦ κόσμου, τοὺς λάτρεις σου
ἐλπίδα βεβαίαν σε
καὶ προστασίαν κατέχοντας
πρὸς τὸν ὑπεράγαθον
75 ὡς ἀγαθὴ ἀγαθῦναι
τοὺς οἰκέτας σου.

f. 65 ᾠδὴ ε'. *Ὁ φωτισμὸς*

Ἐν τῇ σαρκὶ
τὰς πικρὰς ἀλγηδόνας
καθυποτάσσων
80 ὡς ἐν ἀλλοτρίῳ σώματι, μάκαρ,
καὶ τῶν εἰδώλων
ἐκτεφρώσας τὴν πλάνην
καὶ μανίαν τῶν δυσσεβούντων ἐχθρῶν,
Βλάσιε θεράπον Χριστοῦ μεγαλώνυμε.

71 λάτρας pro λάτρεις cd. 73 καὶ προστασία κατέχοντες
heirm. ε' EE 34, n. 46, Joannis 81 τῆς ἀληθείας et in margine καὶ τῶν εἰδώλων

63-66 cf. LATYŠEV, *o.c.*, 48, 50, 52, 329, 332, 335

65 I Petr. 2,6

85 Χάρις ἐν σοὶ
ἐξεχύθη πλουσίως
παρὰ κυρίου
ὅτι καὶ γυναῖκες συνήθλησάν σοι·
τῆς μαρτυρίας
90 τελεκῶσαι τὸν δρόμον
καὶ τὴν πίστιν καλῶς τηρήσασαι,
τῶν τῆς ἀφθαρσίας στεφάνων ἐπέτυχον.

Ὅλος Θεοῦ
συνεκράθης τῷ πόθῳ,
95 ταῖς ἀνενδότοις
κάμψεσι ταῖς τούτου κατηγλαΐσθης
καὶ τῆς γλυκείας
ἐμπιπλάμενος δόξης
ἱκετεύειν μὴ παύσῃ, Βλάσιε,
100 σῶσαι τὰς ψυχὰς τῶν πιστῶς εὐφημούντων σε.

θεοτ. Ὕπνου δεινοῦ
τῆς πικρᾶς ἁμαρτίας
ῥῦσαί με, κόρη·
μὴ παραχωρήσῃς νυστάξαι ὅλως
105 ἀλλὰ τῇ θείᾳ σου
ἀγρύπνῳ δεήσει,
παναγία, ἔγειρον, σῶσόν με
τὸν εἰλικρινῶς ἐπὶ σοὶ καταφεύγοντα.

f. 65v ᾠδὴ ς'. *Ἐν ἀβύσσῳ πταισμάτων* ⟨*κυκλούμενος*⟩

Τῶν κακῶν μου τὰ πλήθη ἐξάλειψον,
110 μάκαρ, ἱκεσίαις σου

90 τελεκῶσαι pro τετελεκυῖαι 92 τὸν 96 κατηγλαῆσθαι heirm. ς' EE 34, n. 46, Joannis

88 cf. Latyšev, *o.c.*, 50-51, 332-333

85-86 Ps. 44,2 90-91 II Tim. 4,7 101-108 cf. Act. 20,9; Sir. 22,7; Ps. 118,28

ταῖς πρὸς τὸν κύριον,
ἵνα πιστῶς δοξάζω σε
ὡς προστάτην θερμὸν καὶ ἐπίκουρον.

Ὡραιώθης θαυμάτων λαμπρότησιν
115 καὶ κατεδοξάσθης
βασάνων φαιδρότησιν,
ἱερομάρτυς Βλάσιε,
διὰ τοῦτο πιστῶς σε δοξάζομεν.

Ὑψηλῷ παρεστὼς θρόνῳ πάντοτε
120 κύριον τὸν ὕψιστον,
μάκαρ, ἱκέτευε
παθῶν ἀπὸ κοπρίας με
ἀνυψῶσαι καὶ σῶσαι τὸν δοῦλόν σου.

θεοτ. Πολυώδυνα πάθη θεράπευσον,
125 κόρη πολυώνυμε,
τὰ τῆς καρδίας μου
καὶ τῶν ἐκεῖ βασάνων με
τῶν πολλῶν καὶ δεινῶν ῥῦσαι, δέσποινα.

f. 66 Κοντάκιον.

Ἦχος β'. *Τὰ ἄνω ζητῶν*

Ὁ θεῖος βλαστὸς
τὸ ἄνθος τὸ ἀμάραντον
....

Ὁ οἶκος. *Τράνωσόν μου*

Μύρῳ Θεοῦ
χρισθεὶς ὁ θεόφρων
....

114 Ὡραιώθης acrostichidis causa cd. Κοντάκ. et οἶκ. MR III, 567

119 Is. 6,1, cf. v. 1 122-123 Ps. 112,7

f. 66v ᾠδὴ ζʹ. *Ἀντίθεον πρόσταγμα*

Ἁγνείαν, πραότητα,
130 δικαιοσύνην
ἐξήσκησας, ἔνδοξε,
ἀμέσως λειτουργῶν τῷ Θεῷ,
αἷς ἡμᾶς εὐόδωσον,
κατεμβιβάζων ὁδοῖς,
135 πράττειν τὰ θελήματα Χριστοῦ
κεκαθαρμένους τῇ μεσιτείᾳ σου.

Ναὸς ἐχρημάτισας
τῆς θείας δόξης·
εἰς κόσμον γὰρ ἥπλωται
140 ὁ λόγος τῶν δογμάτων σου
διδάσκων νοήματα,
φέγγη σωτήρια,
σέβειν τρισυπόστατον υἱὸν
ἀνακηρύττων πᾶσι τοῖς πέρασιν.

145 Ἁγίων διήνυσας
τοῦ μαρτυρίου
τὸν δρόμον τὸν ἔνθεον
στερρῶς ἀγωνισάμενος,
καὶ νῦν τὰ οὐράνια
150 περιπολεύων σοφέ,
σὺν ἁγίοις, Βλάσιε, συνών,
τῶν σὲ ὑμνούντων μέμνησο πάντοτε.

θεοτ. Θεμέλιον ἄσειστον
Χριστὸν τεκοῦσα,
155 λίθον τὸν ἀκρόγωνον,
παρθένε ἀπειρόγαμε,
τοῦτον οὖν ἱκέτευε

---

heirm. ζʹ ΕΕ 34, n. 46, Joannis

137-138 I Cor. 3,16 147 II Tim. 4,7 155 I Petr. 2,6

τὴν σαλευθεῖσάν μου
πάθεσιν ἀθλίαν νῦν ψυχὴν
160 ἐπιστηρίξαι καὶ διασῶσαί με.

f. 67 ᾠδὴ ηʹ. *Κάμινος ποτὲ*

Λύειν καὶ δεσμεῖν
λαβὼν τὴν ἐξουσίαν
παρὰ κυρίου, μάκαρ Βλάσιε,
λῦσον τὰ ἐγκλήματα
165 τῶν πολλῶν παραπτωμάτων μου
καὶ βαίνειν κατευόδωσον
τρίβους τὰς σωτηρίους,
ἵνα συμφώνως ὑμνῶμέν σε.

Ἴθυνον ἡμῶν
170 τὸν νοῦν καὶ τὰς καρδίας
πρὸς τὰς εὐθείας ἐντολὰς τοῦ Θεοῦ
ἀσφαλῶς πορεύεσθαι
καὶ κυβέρνησον ἡμῶν τὴν ζωὴν
ἀτάραχον, ἀκλόνητον,
175 μάκαρ, σαῖς ἱκεσίαις,
ἵνα σε πόθῳ δοξάζωμεν.

Οἴμοι τὸν πολλὰ
ἀφρόνως ἐπταικότα·
οἴμοι τὸν πάθεσι δουλεύοντα
180 κακοῖς καὶ γηράσαντα
καὶ Θεόν μου παροργίσαντα·
βοήθησόν μοι, ἅγιε
Βλάσιε, σαῖς πρεσβείαις,
λύσιν χρεῶν μοι δωρούμενος.

---

heirm. ηʹ ΕΕ 34, n. 46, Joannis 168 ὑμνοῦμεν pro ὑμνῶμεν cd. 176 δοξάζομεν pro δοξάζωμεν cd.

161-165 Matth. 16,19; 18,18 166-167 cf. Tob. 4,19; Ps. 22,3 177-178 Jac. 3,2 181 Ps. 9,34

θεοτ. 185 Ὕψωσον, ἁγνή,
παθῶν ἀπὸ κοπρίας
τὴν ἀδιόρθωτον καρδίαν μου
ἐχθρῶν τῶν θλιβόντων με
καὶ δεινῶς παρενοχλούντων με
190 καταπλουτοῦσα πάντοτε
πράξεσιν ἐναρέτοις,
ὅπως ὑμνῶ σε σῳζόμενος.

f. 67v ᾠδὴ θ'. *Ἀνάρχου γεννήτορος*

Ἰσχύν, δυναστείαν
αὐτῷ περιζωσάμενος
195 ὑψαυχοῦντας τυράννους
εἰς γῆν κατέρραξας
νίκην εἰληφὼς οὐρανόθεν·
ὅθεν βοῶ
τὸν ὑψαυχενοῦντα
200 κατ' ἐμοῦ ἀντίπαλον
θραῦσον, μάκαρ, ταῖς πρεσβείαις σου.

Στρατὸς ἁγιόλεκτος,
δικαίων ἡ ὁμήγυρις
προσεδέξαντο, μάκαρ,
205 τὴν σὴν ἁγίαν ψυχήν,
ὧν συναπολαύων μὴ παύσῃ
ὑπὲρ ἡμῶν
ἀπαύστως πρεσβεύειν
εὑρεῖν ἡμᾶς ἔλεος
210 ἐν ἡμέρᾳ τῆς ἐτάσεως.

Ἁγίαις δεήσεσιν
ταῖς σαῖς ἁγίαις, Βλάσιε,
καθαγίασον πάντας

---

heirm. θ' ΕΕ 35, n. 46, Joannis 194 αὐτῶ

185-186 Ps. 112,7 193-194 Ps. 17,32; ib. 64,6 195 II Mac. 15,6; ib. III, 3,19

τοὺς τὴν ἁγίαν σου
215 μνήμην ἐκτελοῦντας ἐν πίστει·
ἁγιασμὸν
κἀμοὶ οὐρανόθεν
παράσχου τῷ πλέξαντι
τὸ οἰκτρὸν τοῦτο μελῴδημα.

θεοτ. * Ἀγάθυνον, δέσποινα,
221 τὴν ταπεινὴν καρδίαν μου
ἡδονῶν κακωθεῖσαν
ταῖς ἐπικλύσεσιν,
f. 68 ‖ ὡς τὸν ἀγαθὸν τετοκυῖα
225 καὶ ἀγαθὴ
ὑπάρχουσα ὅλη
καὶ πρὸς μετανοίας με
ἀγαθὰς πύλας εἰσάγαγε.

220-228 θεοτ. MR VI, 248 228 εἰσάγουσα cd.

11 FEBR. *CANON* XII

IN SANCTUM BLASIUM EPISCOPUM SEBASTIAE

Crypt. Δ.α. XVI = Ci, ff. 63-68

Ἕτερος κανών.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί, ᾄσωμεν*

Οἱ εὐσεβῶς
νῦν προσιόντες ἐν πνεύματι
Βλάσιον πάντες στέψωμεν
ὡς χριστομάρτυρα
5 καὶ σοφὸν ἱεράρχην,
Χριστὸν δοξολογοῦντες,
ὅτι δεδόξασται.

Μόνος ἐν γῇ,
πάτερ, ἐκτήσω συμπάσχοντας
10 τοὺς θῆρας· ὅθεν ἔμελπες·
« τὸν κτίστην ἅπαντα
σὲ ὑμνῶ καὶ δοξάζω
τὸν δόντα μοι τὴν χάριν
τῶν θαυμασίων σου ».

15 Ὅλον ἐν σοὶ
ἔχων τὸ πνεῦμα, μακάριε,

---

heirm. α' EE 37, n. 51, Cosmae

8-10 cf. Latyšev, *Menologii*, I, 48, 328-329

15-16 cf. Rom. 8,9; I Cor. 7,40

τὸ θεῖον ἀνεκραύγαζες,
« γνῶτε τὸν κτίσαντα
f. 63v ἐνὶ λό||γῳ τὰ πάντα »,
20 λαοῦ τοῦ τῶν Ἑλλήνων
ὑμνολογοῦντος Θεόν.

θεοτ. Σὲ Δανιὴλ
ὄρος ἐκάλει ἀλόξευτον,
θεοκυῆτορ ἄχραντε·
25 ἐκ σοῦ γὰρ τέτμηται
Λόγος, λίθος ὑπάρχων,
δι' οὗ 'Αδὰμ ἐσώσθη
τῆς κατακρίσεως.

ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*

Ἀνδρεῖος κατ' ἐχθρῶν,
30 σοφὲ Βλάσιε,
ἐδείχθης
πατήσας τὴν πλάνην πᾶσαν
τοῦ Βελίαρ τῇ δυνάμει Χριστοῦ
τοῦ ἀεί σου τὴν χάριν προνομεύσαντος.

35 Γυναίῳ τῷ στερρῷ,
σοφέ, θεώμενος
τυράννων
ἐκτήσω τὴν μανίαν·
τῷ σῷ κτίστῃ ἐνυμφεύσω ἀεὶ
40 τούτῳ δόξαν πιστῶς ἀναβοῶντός σου.

Θεοῦ σε ἐραστὴν
οἱ πάντες ἔγνωμεν,

20-21 λαὸν τὴν τῶν ἑλλήνων / ὑμνολογούτων θεὸν 26 λίθον
heirm. γ' EE 39, n. 53, Cosmae 29 'Ανδρείως 38 ἐκτήσαντο
40 τοῦτον δόξαν πιστῶς ἀναβοῶντάς σοι.

35-38 cf. Latyšev, *o.c.*, 49, 331

22-26 Da. 2,34 34 Is. 10,13 41 Sap. 8,2

f. 64 θερά||πον
κυρίου ἱερομάρτυς·
45 ὅθεν πίστει σε τιμῶμεν ἀεί,
ἐκτελοῦντες τὴν μνήμην σου, πανένδοξε.

θεοτ. * Ἀσπόρως ἐν γαστρὶ
Θεὸν συνέλαβες
καὶ τίκτεις
50 ἀφράστως σεσαρκωμένον,
εἰς ὃν βλέπειν οὐ τολμῶσιν ἀεὶ
οὐρανῶν αἱ δυνάμεις, ἀειπάρθενε.

Κάθισμα.

Ἦχος γ'. *Θείας πίστεως ὁμολογίᾳ*

* Θείῳ πνεύματι πεφωτισμένος
θράσος τύραννον ἐν παρρησίᾳ
ποιμαντικῇ μεγαλοφώνως κατήσχυνας
καὶ ἐκπεράσας τῆς πλάνης τὸ πέλαγος
5 πρὸς τὸν λιμένα τὸν θεῖον κατήντησας,
πάτερ Βλάσιε,
Χριστὸν τὸν Θεὸν ἱκέτευε
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἄλλο.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Ἐκβλαστήσας ὡς δένδρον πανευθαλὲς
....

47-52 θεοτ. MR III, 14 51 ἀεὶ] Ἁγνὴ MR
Κάθ. MR III, 412 idem κάθ. in cd. Bf invenies, cf. canonem XV
3 μεγαλοφρόνως MR Bf 6 Βλάσιε] ὅσιε MR Bf 7-8 πρέσβευε χριστῷ τῷ θεῷ / ὑπὲρ τῶν ψυχῶν ἡμῶν Bf 8 v. om. Ci
Ἄλλο κάθ. MR III, 565

f. 64v ᾠδὴ δ'. *Τὴν ἐκ παρθένου σου γέννησιν*

Τίς μὴ θαυμάσῃ, πανένδοξε,
τὴν τοῦ πνεύματος χάριν
55 τὴν οἰκήσασαν ἐν σοί;
πῶς γὰρ ἡ χήρα
ἀπέλαβε τὸν ὗν βοῶσα·
« δόξα σοι, ἅγιε,
ὅτι θὴρ τὸν σὸν φόβον
60 ὑπακούσας
σῶον δέδωκεν ἐμοί »;

Τῶν ἀνομούντων, πανίερε,
ἐπιβάντων ἐν τῇ λίμνῃ
ὤφθη ἄγγελος Θεοῦ
65 καὶ τούτους ῥίψας
ὑπτίους πρὸς τὸ ὕδωρ
αὖθις ἀπέπνιξεν,
τοῖς τυράννοις ἐκβοῶν·
« θεάσασθε
70 νῦν τὴν δύναμιν ὑμῶν ».

Τὴν τῶν εἰδώλων ἀράμενοι
† ἐν τοῖς σάκκοις οἱ λίβδοι
αἱ γυναῖκες ἀνδρικῶς
f. 65 ποταμοῦ || ῥίφος,
75 ὡς ἔδειξεν Χριστοῦ δυνάμεις· †
ὅθεν καὶ εὐθαρσῶς
τοῖς τυράννοις ἐβόουν·
« θεάσασθε
νῦν τὴν δύναμιν αὐτῶν ».

heirm. δ' EE 43, n. 57, Andreae 63 ἐπιβᾶς et in margine sinistro ἐπιβάντων

56-57 cf. LATYŠEV, *o.c.*, 49, 330
62-70 cf. LATYŠEV, *o.c.*, 52, 335
71-79 cf. LATYŠEV, *o.c.*, 50[20-35], 332[29-37]-333[1-16]

54-55 Rom. 8,9; I Cor. 3,16

θεοτ. 80 Ὡς σωτηρίας λιμένα σε,
θεοτόκε, ὑμνοῦμεν
ἅπαν γένος τῶν βροτῶν·
σὺ γὰρ τὸν κτίστην
ἐκύησας φθορὰν μὴ γνοῦσα·
85 τοῦτον ἱκέτευε
τοῦ ῥυσθῆναι τὸν κόσμον
ἐκ τῆς πλάνης
καὶ δουλείας τοῦ ἐχθροῦ.

ᾠδὴ ε΄. *Ὁ τοῦ φωτὸς χορηγὸς*

Τὴν τοῦ χοίρου κεφαλὴν
90 ἡ χήρα μάρτυς τοῦ Χριστοῦ ἤνεγκεν
ἐν τῇ εἱρκτῇ
σὲ ἐκδυσωποῦσα
τοῦ ἅψασθαι ταύτης,
ὅπως τῆς σῆς τύχῃ
95 ἐντεύξεως, ὅσιε.

f. 65v ‖ Σὺ δὲ τὴν ταύτης σπουδὴν
ὡς τοῦ κυρίου μιμητής, ὅσιε,
ἀποπληρῶν
μετέλαβες ταύτης
100 εὐξάμενος αὐτῇ
καὶ τοῖς ἐκτελοῦσιν
ἐν πόθῳ τὴν μνήμην σου.

Ὡς παρρησίαν πολλὴν
πρὸς τὸν σωτῆρα καὶ Θεόν, ὅσιε,
105 ἔχων ἀεί,
τοὺς σὲ εὐφημοῦντας

---

heirm. ε΄ EE 38, n. 51, Cosmae 89 χοῖρος

89-102 cf. LATYŠEV, *o.c.*, 49-50, 331-332

103-105 Philem. 8

περίσῳζε δεινῶν,
Βλάσιε τρισμάκαρ,
μαρτύρων τὸ καύχημα.

θεοτ. 110 * Σοὶ τῇ τεκούσῃ Χριστὸν
τὸν τοῦ παντὸς δημιουργὸν κράζομεν·
« χαῖρε, ἁγνή,
χαῖρε, ἡ τὸ φῶς
ἀνατείλασα ἡμῖν,
115 χαῖρε, ἡ χωρήσασα
Θεὸν τὸν ἀχώρητον ».

ᾠδὴ ς΄. *Ἐν ἀβύσσῳ πταισμάτων* ⟨*κυκλούμενος*⟩

Ἐν τοῖς θαύμασι πᾶσιν ἐξέλαμψας,
Βλάσιε πανένδοξε, ἱερέων τὸ καύχημα
καὶ τῶν ὁσίων, ὅσιε·
120 ὅθεν πίστει τιμῶμεν τοὺς ἄθλους σου.

Τοῖς μὲν δώροις ἡ χήρα προφθάσασα
τοῖς γόνασιν, ὅσιε, τοῖς σοῖς ἐκραύγαζεν·
« τὴν τοῦ παιδός μοι ἄκανθα
δι' εὐχῆς σου ἐκ τοῦ φάρυγγος ἅρπασον ».

f. 66 125 ‖ Πάραυτα τῆς ἰάσεως ἔτυχεν
ὁ παῖς καὶ Χριστὸν παρρησίᾳ ἐκήρυττεν
τὸν τὰς ἰάσεις νέμοντα
τοῖς αὐτῷ προσπελάζουσιν ἐκ πίστεως.

Τοὺς τελοῦντας ἐν πόθῳ τὴν μνήμην σου
130 ῥῦσαι τῶν κινδύνων, πανένδοξε Βλάσιε,
καὶ τοὺς ἐν πόθῳ ᾄδοντας
καὶ προστρέχοντας πίστει [τὴν μνήμην σου].

110-116 θεοτ. MR III, 16 110 Σὺ cd. 115 χωρέσασα cd.
heirm. ς΄ EE 34, n. 46, Joannis 125 Παραυτὰ pro Πάραυτα cd.
128 τῆς αὐτῷ προσπελάζειν ἐκ πίστεως 131 καὶ τοῖς ἐν πόθω ᾄδουσιν

121-128 cf. LATYŠEV, *o.c.*, 48-49, 329-330

θεοτ. * Τὰ ποικίλα μου πάθη θεράπευσον,
μόνη ἀειπάρθενε, μῆτερ ἀπείρανδρε·
135 σὺ γὰρ λιμὴν ἀχείμαστος
ἀνεδείχθης ἡμῖν τοῖς ὑμνοῦσί σε.

Κοντάκιον.

Ἦχος β'. *Τοῖς τῶν αἱμάτων*

Τῇ τοῦ ἀμέμπτου σου βίου λαμπρότητι
....

Ὁ οἶκος.

Χάριν μοι δώρησαι οὐρανόθεν
....

f. 66ᵛ ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

Τὸ ὄμμα τρανῶς
πρὸς τὸν κτίστην καὶ Θεὸν προθύμως ἄραντες
τοῦτον ἀνύμνουν ἐν τῷ σκάμματι,
140 ἀκαταπαύστως κραυγάζοντες·
« πρόσδεξαι, Χριστέ, τῶν σῶν δούλων
τὰς ψυχὰς τῶν κραζόντων σοι·
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

145 Τῶν πόθῳ τὴν σὴν
ἐκτελούντων ἱερὰν μνή||μην σου, Βλάσιε,
ἐκ κινδύνων διασῴζουσαν

133-136 θεοτ. PID, λ', cf. atque ETh, 234 134 ἀπείρανδρε] ἀνύμφευτε PID ETh
Κοντάκ. et οἶκος PAS I, 586
heirm. ζ' EE 39, n. 53, Cosmae 145 Τοῦ πόθου 146 ἐκτελοῦντες

137-140 cf. LATYŠEV, *o.c.*, 50-51, 333-334

μὴ ἐπιλάθῃς, δεόμεθα,
ὡς ἐκ τοῦ Θεοῦ ἡμῶν χάριν
150 εἰληφώς, κραυγάζομεν·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. * Σὲ βάτον Μωσῆς
ἐν τῷ ὄρει τῷ Σινᾷ πυρπολουμένην, ἁγνή,
155 προεθεώρει, τὴν ἐνέγκασαν
ἀκαταφλέκτως τὴν ἄστεκτον
αἴγλην τῆς ἀρρήτου οὐσίας
ἑνωθείσης παχύτητι
σαρκὸς μιᾶς τῶν ἐν αὐτῇ
160 ἁγίων ὑποστάσεων.

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Μανιωδῶς τοῖς ἀθληταῖς
ἐποτρύνας ὁ ἐχθρός, εὐθὺς προστάττει
κεφαλότμητον δοῦναι
τοῖς πίστει κράζουσιν·
165 « ὑμνεῖτε, τὰ ἔργα, τὸν κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

f. 67 || « Δόξα » κραυγάζουσαι « Χριστῷ
ὅτι ἔδειξας ἡμῖν τὴν θείαν χάριν·
170 τοῦ λαβεῖν δὲ τὸ στέφος
τῆς θείας δόξης σου
διό σοι
κραυγάζομεν χάριτι,

---

150 εἰληφῶτα 153-160 θεοτ. MR III, 19 154 πυρπολουμένην] προδιετύπου cd.
heirm. η' EE 35, n. 47, Joannis

161-163 cf. LATYŠEV, *o.c.*, 51,334

149-150 Philem. 8 153-156 Ex. 3,1-3

σὲ ὑμνολογοῦσαι
175 εἰς πάντας τοὺς αἰῶνας ».

Μνήσθητι, ἅγιε, κἀμοῦ
ἐν ταῖς θείαις σου λιταῖς πρὸς τὸν δεσπότην
τοῦ δοθῆναί μοι λύσιν
τῶν ἐπταισμένων δεινῶν,
180 ὅπως σου
ὑμνῶ τὸ μνημόσυνον
καὶ δοξολογήσω
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. Σὲ ἀνυμνῶ ὡς τοῦ φωτός,
185 θεοτόκε, κιβωτὸν καὶ θείαν πύλην
δι' ἧς κόσμος ἐρρύσθη
παραπτωμάτων πολλῶν·
αἰτοῦμεν
ῥυσθῆναι κολάσεως·
190 ταῖς σαῖς ἱκεσίαις
εἰς πάντας τοὺς αἰῶνας.

f. 68 ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Τὸν ἀριστέα κυρίου
καὶ στερρὸν ἀθλοφόρον
ὑμνήσωμεν ᾠδαῖς πνευματικαῖς,
195 Βλάσιον, ᾄσμασι σήμερον,
ὡς διώξαντα πλάνην
καὶ δόντα λόγον πίστεως πολὺν
καὶ ἰώμενον πάντας
τοὺς πίστει προσιόντας αὐτῷ.

200 Ὡς εἰληφὼς ἐκ κυρίου,
ἱεράρχα, τὴν χάριν

---

174 ὑμνολογοῦντας
heirm. θ' EE 34, n. 46, Joannis 197 πολλὴν 198 ἰώμενος

200-201 Philem. 8.

ἴασθαι τὰ νοσήματα ἡμῶν,
Βλάσιε ἅγιε, πρέσβευε
τοῦ ῥυσθῆναι ἀκάνθης
205 ἐν φάρυγξι παγείσης ἰχθύος
ἢ ἐν βρώμασιν ἄλλοις
τοὺς πίστει ἀνυμνοῦντάς σε.

Σῷζε πρεσβείαις σου πάντας
τοὺς πιστῶς σε ἀνυμνοῦντας
210 καὶ ἐξαιτοῦντας λύσιν τῶν δεινῶν
παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν,
ὃν ἀπαύστως δυσώπει
τοῦ εἰρηνεῦσαι κόσμον καὶ ἡμῖν
καταπέμψαι τὴν χάριν
215 καὶ ἄφεσιν καὶ ἔλεος.

θεοτ. Ὡς παρρησίαν καὶ τεῖχος
τῶν πιστῶν σε ὑμνοῦμεν,
πανύμνητε, ἡ μήτηρ τοῦ φωτός·
ὅθεν αἰτοῦμεν πρεσβεύειν ἀεὶ
220 λυτρωθῆναι γεέννης
καὶ δεξιὰν παράστασιν λαβεῖν
παρ' αὐτοῦ, ⟨ὃν⟩ ἐκ λαγόνων
ἁγνῶν σὺ μόνη τέτοκας.

---

205 φάραγξιν 217 ὑμνούντων 222 ὃν ipse inserui

---

205 cf. Latyšev, *o.c.*, 48-49, 329-330.

11 FEBR. *CANON* XIII

IN SANCTUM BLASIUM EPISCOPUM SEBASTIAE

Crypt. Δ.α. XVI = Ci, ff. 68v-72
Paris. gr. 13 = Q, ff. 253v-254
Paris. gr. 1562 = Pp, ff. 55v-58v
Paris. Suppl. gr. 32 = Sa, ff. 208-209v
Paris. gr. 1616 = Po, ff. 77v-82
Crypt. Δ.δ. I = Dd, ff. 119v-122

Ἕτερος κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Αἰνέσεως συμφωνίαν σήμερον
Χριστῷ προσάξωμεν
τὴν εὐκλεῆ Βλασίου τοῦ σοφοῦ
ἐκτελοῦντες πανήγυριν,
5 μωσαϊκῶς, φιλέορτοι,
ᾄδοντες ᾆσμα τῷ Θεῷ ἡμῶν.

Τῶν κάτω ὁ ὑπερόπτης Βλάσιος
καὶ τοῦ Χριστοῦ ἐραστής,
ὡς ἱερεὺς καὶ μάρτυς καὶ ποιμήν,
10 τὴν τῶν ἔργων ἐπίδειξιν
προθεὶς ὡς θείαν τράπεζαν
πρὸς εὐφροσύνην συγκαλεῖται ἡμᾶς.

Τὸν βίον δι' ἀρετῆς ἐκάθηρας
καὶ σκεῦος ὤφθης Χριστοῦ

---

tit. Ἕτερος κανὼν τοῦ ἁγίου Βλασίου Ci   Εἰς τὸν ὄρθρον κανόνας τῆς ὀκτωήχου β', ἀνὰ δ', καὶ τοῦ ἁγίου τὸν παρόντα ὁμοίως εἰς δ' Q   Ὁ κανὼν Pp Sa Po   Καὶ εἰς τὸ « Θεὸς Κύριος » καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου· ὁ κανὼν Dd
heirm. α' EE 94, n. 133, Joannis   12 πρὸς] εἰς Dd   εὐφροσύνην] εὐωχίαν cdd. praeter Ci   13-18 trop. om. Dd   14 Χριστοῦ] θεοῦ Sa   χρηστὸν Po

---

14 Act. 9,15

15 τοῦ θείου μύρου πρὸς ὑποδοχὴν
τῆς σεπτῆς λειτουργίας, σοφέ,
τὴν δὲ στολὴν τοῖς αἵμασιν
τοῦ μαρτυρίου κατεποίκιλας.

Χριστός σοι τὸ ζῆν, θεομακάριστε,
20 καὶ τὸ θανεῖν ἀληθῶς
κέρδος ἐδείχθη ἄφθαρτον πιστῶς,
ἱερώτατε Βλάσιε·
διὸ προθύμως τέθνηκας
ὑπὲρ αὐτοῦ καὶ ζῇς ἐν τούτῳ ἀεί.

θεοτ. Ἀνέστη τοῦ πατρικοῦ συμπτώματος,
26 θεογεννῆτορ ἁγνή,
καὶ τῆς ἀρᾶς λελύτρωται σαφῶς
τῆς προμήτορος, ἄχραντε,
διὰ τῆς σῆς κυήσεως
30 τὸ γένος ἅπαν τὸ ἀνθρώπινον.

f. 69 ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ὡς ἐγνωσμένος Θεῷ
ἱερατεύειν τῷ Χριστῷ κέχρισαι
καὶ μυηθεὶς πνεύματι
σεαυτὸν δι' αἵματος τέθυκας.

35 Θηρεῦσαι προθυμηθεὶς
ὁ δυσμενὴς τῶν εὐσεβῶν τύραννος
τὴν ἐν Χριστῷ ποίμνην σου,
οὗτος ὑπὸ σοῦ ἀνατρέπεται.

19-24 trop. om. Q Pp Sa Po
heirm. γ' EE 94, n. 133, Joannis   32 Χριστῷ] αὐτῷ Pp   θεῷ Po Dd   κέχρησαι Ci   35-38 trop. om. Po   38 οὕτως Ci

---

35-38 cf. LATYŠEV, *Menologii*, I, 329

---

18 Act. 7,14   19-21 Philip. 1,21   31 Gal. 4,9

Καὶ δόγμασιν ἀληθῶς
40 καὶ τῇ ἐκβάσει τῶν σοφῶν ἔργων σου
τῆς Ἐκκλησίας πέφυκας
μάρτυς καὶ διδάσκαλος, Βλάσιε.

Ὑπόδειγμα εὐσεβὲς
τῆς Ἐκκλησίας τοῦ Χριστοῦ γέγονας,
45 τὴν ἱερὰν χλαῖνάν σου
αἵματι λαμπρύνας τῶν ἄθλων σου.

θεοτ. Τεκοῦσα ἐπὶ τῆς γῆς
τὸν ὑπερούσιον Θεόν, ἄχραντε,
τὴν τῶν βροτῶν ἔκπτωσιν
50 ἐν τοῖς οὐρανοῖς ἐπανήγαγες.

f. 69v ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία*

Στηριζόμενος τῇ ῥάβδῳ τῆς ἀληθείας,
μωσαϊκῶς κατέβαλες
τῆς πλάνης τοὺς ὄφεις,
Βλάσιε θεράπον Χριστοῦ,
55 ἐλέγξας τὸν τύραννον
καὶ καθοδηγήσας τὸν νέον λαόν.

---

41 πέφυκας] βλάσιε Po   42 Βλάσιε] πέφυκας Po   43-46 trop. om. Q Pp Sa Dd   46 αἵμασι Po   47-50 Po Dd diversum θεοτ. praebent cuius initium sonat: Σὺ μόνη τοῖς ἐπὶ γῆς = MR II, 432; cf. vv. 37-40 canonis XIV. Post odem γ' cdd. tradunt: Κάθισμα. Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου* Ἐκβλαστήσας ὡς δένδρον πανευθαλές . . . Q Sa (= MR III, 565). Κάθισμα. Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου* Εὐσεβείας ὑπάρχων / γόνος σεπτός, / ἀσεβείας ἐδείχθης ἐκμειωτής, / Βλάσιε[1] πανεύφημε, / τῇ δυνάμει τοῦ πνεύματος· / ἐν γὰρ σταδίῳ πλάνην / εἰδώλων διήλεγξας / καὶ εὐθαρσῶς, ὑμνεῖσθαι[2] / Τριάδα ἐκήρυξας[3]· / ὅθεν καὶ ἀνόμοις[4] / ἐκδοθείς, ἀθλοφόρε, / τὸν θῆρα ἐνέκρωσας, / τὸν ἀρχέκακον δράκοντα· / διὰ τοῦτο βοῶμέν σοι· / πρέσβευε Χριστῷ τῷ Θεῷ[5] / τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι / τοῖς ἑορτάζουσι πόθῳ / τὴν ἁγίαν μνήμην σου Po; idem κάθ., quod ante canonem refert Pp, in MR I, 29 habeas ([1] Μάμα MR [2] καὶ τὸν χριστὸν κηρύξας Lm   τριάδα ὑμν. ἐδίδαξας Pp [3] Τριάδα ὑμν. ἐκήρ. MR τοῖς πάσιν ἀήττητε Lm [4] ἀνθρώποις Pp [5] Θεῷ . . . μνήμην σου Po Pp varie recidunt invocationem); ipsum κάθ. in Lm invenitur, cf. canonem XV; Θεοτ. Τοῦ ἡλίου νεφέλη τοῦ νοητοῦ (= MR III, 644), Σταυροθεοτ. Τὸν ἀμνὸν καὶ ποιμένα καὶ λυτρωτὴν Po (= MR III, 565). Κάθισμα, Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,* Ἀσκήσει καρτερῶς προστομώσας τὴν σάρκα Dd, cf. canonem XI   heirm. δ' EE 94, n. 133, Joannis   51 ἀληθ.] ἀπαθίας Dd   53 τοὺς ὄφεις τῆς πλ. Pp

Λογικῶν τε καὶ ἀλόγων σε εὐεργέτην
ἡ πρὸς Θεὸν οἰκείωσις
ἀνέδειξε, μάκαρ,
60 τοῖς κατορθώμασί σου·
ἐντεῦθεν γὰρ εἴληφας
τὰ τῶν ἰαμάτων χαρίσματα.

Ἐν τῷ φάρυγγι ἣν ἔθετο ἀλγηδόνα
τοῖς ἐν Χριστῷ σου θρέμμασιν
65 ἐνδίκως ἐν ταύτῃ,
πάτερ, ἀπηγχόνησας
τῷ λόγῳ τῆς χάριτος
τῆς παρανομίας τὴν ἄκανθα.

θεοτ. Ὡς παράδεισος ἐν μέσῳ τῆς Ἐκκλησίας
70 πεφυτευμένος ὤφθης,
τὸ ξύλον τεκοῦσα
τῆς ζωῆς, πανύμνητε,
ἐξ οὗπερ γευσάμενοι
ἔγνωμεν Χριστὸν τὸν Θεὸν ἡμῶν.

f. 70 ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς*
εἰς τὸν κόσμον

75 Ἐπ' εὖρος θεϊκὸν
ἐφαπλώσας τὰ ὅρια
τῆς ποίμνης σου, ἱεράρχα,

57-62 trop. desideratur in Dd   60 τοῖς σοῖς κατορθώμασιν, ut quidam posterior scriba correxit in Pp, praetulerim; τῶν κατορθωμάτων praebent ceteri cdd.   63 φάραγγι Po   68 τὴν ἄκανθα] τὸν ἄνθρακα Q Sa   τὸν ἄνθρακα ex correctione Pp   post v. 68 hoc trop. tradit Dd: Τῇ στερρότητι συνέτριψας τῆς σοφίας / τῶν ἱερῶν δογμάτων σου / τὰ ὄρη τῆς πλάνης / καὶ πρὸς ζόφον ἄλυτον / τῷ φέγγει τῆς χάριτος / ταύτην συνωθήσας συνέκλεισας   71 τεκοῦσα τὸ ξύλον Po
heirm. ε' EE 94, n. 133, Joannis   75-79 trop. deest in Pp   76 ὑφαπλώσας Dd

---

57-60 cf. LATYŠEV, *o.c.*, 48, 328-329.
63-68 cf. LATYŠEV, *o.c.*, 48-49, 329-330.

69-74 Apoc. 2,7

θεοσόφως τὴν πλάνην
ἐδίωξας ἐκ πάσης τῆς γῆς.

80 Τοῖς δόγμασι, σοφὲ
ἱεράρχα, τὴν ποίμνην σου
ἐστήριξας ἐν τῇ πίστει·
ἰδοὺ γὰρ καὶ γυναῖκες
τὴν πλάνην κατεπάτησαν.

85 Τῷ πόθῳ τοῦ Χριστοῦ
τετρωμένα τὰ γύναια
πρὸς μίμησιν ἐπιβαίνει
τῶν ἀγώνων σου, πάτερ,
θυόμενα προθύμως Χριστῷ.

90 Πρὸς γνῶσιν θεϊκὴν
ὑψωθέντα τὰ γύναια
εἰς ἄβυσσον ἀπωλείας
τῆς ἀπάτης ἐμφρόνως
ἐβύθισαν τὰ εἴδωλα.

θεοτ. Νεκροῦται ἀληθῶς
96 ἐν τῷ τόκῳ σου, δέσποινα,
ἡ ἔφοδος τοῦ θανάτου·
τῷ φωτὶ γὰρ τὸ σκότος
μειούμενον ἐξίσταται.

ᾠδὴ ς΄. *Θύσω σοι*
μετὰ φωνῆς

100 Τῇ τέρψει
τῶν ποικίλων μωλώπων τοῦ σώματος
τὴν μυστικὴν τῆς στολῆς σου

---

80 Τοῖς] Σοῖς Po 90-94 trop. om. Q Sa Po 93 τῆς ἀπάτης] τῶ ἀπίστων (sic) Dd
heirm. ς′ EE 94, n. 133, Joannis 102 τῇ μυστικῇ Dd

80-94 cf. LATYŠEV, *o.c.*, 50-51, 332-334

80-82 I Thes. 3,2

f. 70ᵛ ἐπε ‖ κόσμησας ὡραιότητα
καὶ κατ' ἄμφω,
105 ἱεράρχα, ἐστέφθης τῇ χάριτι.

Τῇ πίστει
ἐν Χριστῷ ὡς ἐκτήσω τὰ γύναια
καὶ συναθλοῦντά σοι, πάτερ,
καὶ προθύμως θνήκοντα, Βλάσιε,
110 καὶ τοὺς πόθῳ
ἐκτελοῦντας τὴν μνήμην σου κτῆσαι ἡμᾶς.

Τῷ ζήλῳ
τοῦ Χριστοῦ πυρωθεῖσαι αἱ μάρτυρες,
τῆς θωπευούσης ἀπάτης
115 τὸ δελέασμα ἀπορρίψασαι,
τῶν βασάνων
τὰς ποινὰς ἀπετέφρωσαν αἵματι.

Ἔρωτι
τῆς Χριστοῦ ἀναφθεῖσαι νυμφεύσεως
120 αἱ θαυμασταὶ ἀθλοφόροι
τὴν ἀπάτην ὄντως κατέφλεξαν
καὶ θαυμάτων
δᾳδουχίαις τὸν κόσμον ἐφώτισαν.

θεοτ. Ἰσχύς μου
125 ἀληθῶς σὺ καὶ ὕμνησις πέφυκας,
θεογεννῆτορ· ἐν σοὶ γὰρ

---

103 ὡραιότητα] ἱερότητα Q 106-109 Τῇ πίστει / ὡς ἐκτήσω τὰ γύναια βλάσιε / συναθλοῦντα ἐν χριστῶ / καὶ προθύμως θνήσκειν ἑλόμενα Pp 108 καὶ om. Po 111 κτῆσαι] φύλαττε Po σῶζε Dd 112-117 trop. deest in Pp 117 τὰς ποινὰς] τὴν πυρὰν Q τὰς πυρὰς Dd αἵμασιν Q 118-123 trop. desideratur in Q Sa Po Dd 125 πέφυκας] γέγονας Dd

---

101 cf. LATYŠEV, *o.c.*, 50, 332
106-117 cf. LATYŠEV, *o.c.*, 50-51, 332-334.

---

112 Rom. 10,2 124-125 Ps. 117,24 126-127 Ps. 72, 28

τὴν ἐλπίδα μου ἀνατέθηκα
καὶ ὕψωσα
κατ' ἐχθρῶν, θεοτόκε, τὸ κέρας μου.

ᾠδὴ ζ'. *'Εν τῇ καμίνῳ 'Αβραμιαῖοι*

130 Δαυϊτικῶς σοι
ἀναβοῶμεν, πάτερ Βλάσιε,
πόθῳ·
« τοῦ κυρίου ὤφθης σὺ μαθητὴς
καὶ τὰ ἴχνη οὐκ ἐγνώσθη σου·
135 καὶ γὰρ ἡ τρίβος σου
ἐν κυρίῳ ὠράθη ἐν ὕδασιν ».

---

128 ὑψώθη Pp ὑψώσας Dd 129 διὰ σοῦ κατ' ἐχθρῶν μου τὸ κέρας μου Q Pp Po κατ' ἐχθρῶν μοῦ τὸ κέρας πανάμωμε Dd post oden ς' has commemorationes et haec troparia tradunt cdd.: Κοντάκιον. Ἦχος πλ. δ'. *'Ως ἀπαρχὰς* 'Ως ἐμπρέψαντος χάριτι / ἱεραρχίας, ἔνδοξε . . . 'Ο οἶκος. Τὸν ποιμένα Χριστὸν τὸν Θεὸν ἡμῶν Q (= AK 220), in eodem cd. legitur: Μηνὶ τῷ αὐτῷ ια'. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Βλασίου ἐπισκόπου Σεβαστείας καὶ τῶν σὺν αὐτῷ τιμίων γυναικῶν. Οὗτος ὁ μακάριος ὑπῆρχε κατὰ τοὺς καιροὺς Λικινίου . . . (cf. Synax. Eccl. CP., 457); Τῇ αὐτῇ ἡμέρᾳ· μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μακεδονίου. Οὗτος ὁ ὅσιος ὁ καὶ κριθοφάγος ἐπονομαζόμενος, ἡ γὰρ τοιαύτη τροφὴ τὴν ἐπωνυμίαν αὐτῷ ἔθηκεν . . . Q (cf. Synax. Eccl. CP., 457). Κοντάκιον. Ἦχος πλ. δ'. *'Ως ἀπαρχὰς* 'Ιερωσύνης χρίσματι / καὶ μαρτυρίου αἵματι . . . 'Ο οἶκος. 'Εν σπουδῇ, ἀδελφοί, συναθροίσθητε . . . Sa Po (= AK, 102). Κονδάκιον. Ἦχος ⟨β'⟩. Τῇ τοῦ ἀμέμπτου σου βίου λαμπρότητι [1] / τὴν 'Εκκλησίαν νῦν [2] ὅλην ἐφαίδρυνας· / Χριστὸς γὰρ [3] τὴν χάριν ἐβράβευσεν / ὁ δούς σοι τὴν δόξαν [4] ἀθάνατον· διόπερ καὶ στέφος [5] κεκόσμησαι [6]. 'Ο οἶκος. Χάριν [7] μοι δώρησαι οὐρανόθεν, / 'Ιησοῦ ὁ Θεός μου, / ὁ ἀρρήτῳ βουλῇ / τὰ πάντα λόγῳ πηξάμενος· / σὺ γὰρ εἶ [8] πάντων ἡ προμηθεία, / σὺ καὶ λόγου τὸ πέρας σαφῶς προσνέμεις [9], / ὅπως τὸν σὸν / ἀνυμνήσω πιστῶς / νυνὶ [10] Βλάσιον· / μέγας γὰρ τῇ 'Εκκλησίᾳ / ἱεράρχης ἐξέλαμψεν ἔνθεος· / διὸ αὐτοῦ ταῖς λιταῖς [11] / τῆς ψυχῆς μου τὸ σκότος ἀπέλασον. / Διὸ ὑπὲρ ἡμῶν, παμμάκαρ, ἱκέτευε [12]. Dd Lm (= PAS, I, 586; cf. atque canones XII, XV: [1] Τὴν . . . λαμπρότητα Lm [2] νῦν] γὰρ Lm [3] γὰρ] δὲ Lm [4] δόξαν] χάριν Dd [5] στέφει Dd PAS [6] σὲ κεκόσμησε PAS [7] χαρὰν Dd [8] εἶ om. Lm [9] προνέμοις Lm [10] νῦν Lm [11] διὸ λιταῖς αὐτοῦ, εὔσπλαγχνε PAS [12] διόπερ καὶ στέφος κεκόσμησαι Lm διόπερ καὶ στέφος ἐκομίσατο PAS)

heirm. ζ' EE 94, n. 133, Joannis 131 ἀναβ. ὦ πάτερ βλ. Po 133 σὺ] γὰρ Pp μαθητὴς] μιμητὴς cdd. excepte Ci 134 ἐγνώσθη σου] ἐγνώσθησαν Dd 136 ἐν] τοῖς Dd ὕδατι Pp Sa

---

128-129 Ps. 88,17 130-136 Ps. 76,19

f. 71 ‖ Τῆς τοῦ κυρίου
κατατρυφῶσαι, μάρτυρες, χάριτος
ὄντως
140 χαρμονὴν ἡγεῖσθε τοὺς σπαραγμούς,
τὸν ξυστῆρα, καὶ τὸ θαῦμα δὲ
ὡς ὑπὲρ ἄνθρωπον
τῶν αἱμάτων τραπέντων εἰς γάλα φρικτῶς.

Τὴν μητρικήν τε
145 κατὰ τοῦ ξίφους τόλμαν θεώμενοι
πίστει
τοῦ Χριστοῦ οἱ παῖδες καὶ τὴν αὐτοῦ
εὐπρεπῆ ἀϊδιότητα
ἀπολαμβάνοντες
150 πρὸς τὸν δεσπότην ἔχαιρον σπεύδοντες.

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Χεῖρας ἐκπετάσας ψαλμικῶς
ἐνώπιον τοῦ Θεοῦ
εὐχὰς προσήγαγες
ἱερουργούμενος αἵματι

---

post v. 136 hoc trop. exhibet Dd: Χειραγωγίᾳ / ἀγγελικῇ προσήχθης εἰς τελειότητα, / μάκαρ, καὶ ἐλέγξας αὖθις τὸν δικαστήν, / ἐκληρώσω τὴν ἀπόφασιν· / εὐλογημένος εἶ / ἐν τῷ ναῷ ⟨τῆς δόξης σου, κύριε⟩ 140 σπαραγμούς] πειρασμοὺς Po 141 τῶν ξυστήρων καὶ τὸ θαῦμα δὲ Q Dd τοὺς ξυστῆρας καὶ τὰ θαύματα Pp 145 θεασάμενοι τόλμαν Pp 146 v. om. Pp 149 ἀπολαμβάνουσαν Q Pp Sa Po 150 πρὸς αὐτὴν διὰ πίστεως ἔδραμον Pp ἔσπευδον χαίροντες Po Post v. 150 Q Pp Sa Po hoc θεοτ. tradunt cuius initium sonat: Τὸ τοῦ ὑψίστου / ἡγιασμένον, θεῖον σκήνωμα = MR II, 437. Dd, vero, diversum θεοτ. refert: Ὅτι ἐτέχθη / ἐκ τῆς παρθένου Χριστὸς σαρκὶ δι' ἡμᾶς / πάντων τῶν κτισμάτων δείξας ὑπερφερῆ / τὴν τεκοῦσαν ἣ (lege ᾧ) κραυγάζομεν· / εὐλογημένη εἶ, / πανάμωμε δέσποινα.

heirm. η' EE 94, n. 133, Joannis 152 Θεοῦ] λαοῦ Dd 153 εὐχὰς] πάτερ Po Dd

---

137-143, cf. LATYŠEV, *o.c.*, 50-51, 332-334.
144-150, cf. LATYŠEV, *o.c.*, 51-52, 333-334, 336.

137-138 Ps. 36,4 151 Os. 65,2

155 τῷ οἰκείῳ τῷ δεσπότῃ Χριστῷ·
διὸ ποτήριον, σοφέ,
τοῦ σωτηρίου πιών,
ἀνεβόας·
« πάντα τὰ ἔργα, ὑμνεῖτε τὸν κύριον ».

160 Τὴν χήραν ζηλοῦντες εὐσεβῶς
τὴν θείαν μνήμην σου
ἐπιτελοῦμεν πιστῶς,
θεοχαρίτωτε Βλάσιε,
καὶ αὐτὸς οὖν τὴν ὑπόσχεσιν
f. 71ᵛ 165 ἣν ἐποι‖ήσω πρὸς αὐτὴν
καὶ σὺν αὐτῇ πρὸς ἡμᾶς
χορηγίαις
τῶν ἀγαθῶν ὡς ποιμὴν ἐπικούρησον.

τριαδ. Τριάδα λατρεύων εὐσεβῶς
170 δοξάζω σύμφυτον
μίαν θεότητα
τρισὶν ἐκλάμπουσαν γνώριμον
ἑνιαίως ἰδιότησιν,
ἐξ ἀγεννήτου γεννητῶς,
175 ἐκπορευτῶς τοῖς πιστοῖς·
« εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

---

155 τῶ οἰκείω τὰς εὐχάς σοῦ χριστῶ Dd 157 σωτήριον εἰληφῶς Dd 159, 177, 178 laudem varie intermittunt cdd. 168 ὡς ποιμὴν] ἐν ἡμῖν Po Dd idem om. Pp ἐπικούρησον] ἐπικύρωσον Dd ἅγιε post ἐπικούρησον add. Pp 169-177 τριαδ. Po his substituit vv: Ὥσπερ χαρακτῆρα εὐκρινῆ, / τὰ κατορθώματα, / τὴν ἱεράν σου στολὴν / καὶ θείαν ἄθλησιν ἔχοντες, / φωτιζόμεθα δοξάζοντες / τὴν ἐκδημίαν σου πιστῶς, / Βλάσιε, μέλποντες· / « εὐλογεῖτε, / πάντα τὰ ἔργα ⟨κυρίου, τὸν κύριον »⟩; cf. vv. 137-145 canonis XIV. 170 σύνθρονον Dd 172 γνώριμον] φύσεως Q Dd 173 ἑνιαίας Q 174 γεννητὸν Dd 175 ἐκπορευτὸς Ci ἐκπορευτὸν Dd τοῖς πιστοῖς] τε βοῶ Q καὶ βοῶ Dd 176 ἢ βοῶμεν Pp

---

160 cf. LATYŠEV, *o.c.*, 336
164-165 cf. LATYŠEV, *o.c.*, 50, 331-332

156-157 Ps. 115,4

θεοτ. Ὑπῆρχεν ἡ φύσις τῶν βροτῶν
τὸ πρὶν κατάκριτος
180 τῷ παραπτώματι
τῆς παραβάσεως, εὗρε δέ,
θεοτόκε, ἐν τῷ τόκῳ σου
τὴν εὐλογίαν ἀληθῶς
καὶ μελῳδεῖ ἐν χαρᾷ·
185 « εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Ὥσπερ ἐν τρυφῇ παραδείσου
καὶ εἰς αὐτὴν τῆς βασιλείας,
Βλάσιε σοφὲ ἱεράρχα,
190 τὴν κληρουχίαν ἑτοιμαζόμενος,
πρὸς τὴν σφαγὴν ἐπέδραμες
ἐν τῷ κυρίῳ ἀγαλλόμενος.

Τὸ θράσος ἀπέτεμες, μάκαρ,
ἐν τῇ τοῦ πνεύματος μαχαίρᾳ
195 τῆς ἐπαιρομένης ματαίως
f. 72 ‖ κατὰ τῆς ποίμνης σου ἀθεότητος,
ἐν τοῖς οἰκείοις αἵμασιν
ἐπισφραγίζων τὴν εὐσέβειαν.

Γύναια θεόσοφα κάλλει
200 τῆς εὐσεβείας τετρωμένα
καὶ ἐν τοῖς παθήμασι Χριστοῦ

---

186 cdd. varie abrumpunt orationem
heirm. θ' ΕΕ 94, n. 133, Joannis 188 τὴν βασιλείαν Pp Po 190 τὴν] σὴν Pp 193 μάκαρ] μάρτυς Dd 196 κατὰ σοῦ πλάνης καὶ ἀθέοτητος Pp καὶ ἀναισχύντως σὺ ἀθεότητος Po 198 ἐπισφραγίσας Po 199-204 trop. om. Sa Po Dd; idem trop. Pp his substituit vv.: Σῴζεις τοὺς πνιγμῷ τῷ ὀστώδει / ὀδυνωμένους, ἱεράρχα· / τοῦτο γὰρ κεκόμισαι δῶρον / ἐξαιρέτως παρὰ Χριστοῦ τοῦ Θεοῦ / ἀθλοπρεπῶς, μακάριε· / διό σε πάντες μακαρίζομεν. cf. vv. 187-193 canonis XIV. 199 κάλλη Ci

---

191-192 cf. LATYŠEV, *o.c.*, 52, 335-336
199-204 cf. LATYŠEV, *o.c.*, 50-51, 332-334

ὡραϊσθέντα τὴν ἐπὶ θάνατον
πορείαν ἐποιήσαντο
ἐν εὐφροσύνῃ ἀγαλλόμεναι.

205 Βλάσιε σοφὲ ἱεράρχα,
σὺν ταῖς ἁγίαις σου συνάθλοις
ἅμα καὶ τῶν παίδων τῶν θείων
ἐπ' εὐλογίαις τοὺς ἐπαινοῦντάς σε
στεφανωθῆναι πρέσβευε
210 ὡς ἀπαρχάς σοι λόγων οἴσοντας.

θεοτ. Ἐν τόκῳ παρθένος ἐδείχθης
ὡς πρὸ τοῦ τόκου, θεοτόκε,
καὶ μετὰ τόκον ὡσαύτως
τοὺς ὁρισθέντας νόμους τῆς φύσεως
215 ὑπερβαλοῦσα, δέσποινα·
διό σε πάντες μεγαλύνομεν.

---

204 ἀγαλλόμενα Q 205-210 trop. om. Q Pp 206 σὺν τοῖς συνάθλοις τοῖς γυναίοις Po σὺν τοῖς συνάθλοις σου γενναίοις Dd 208 τοὺς ἐπαινέτας σου Dd 210 λόγον Sa Dd οἴσαντας Sa Dd 212 v. deest in Po

IN SANCTUM BLASIUM EPISCOPUM SEBASTIAE

Crypt. Δ.α. XVI = Ci, ff. 68ᵛ-72
Vat. gr. 1547 = Vq, ff. 83-86ᵛ
Crypt. Δ.α. XXVII = Cv, ff. 60ᵛ-63

Ἕτερος κανὼν φέρων ἀκροστιχίδα·
Τῷ ἱερομάρτυρι Βλασίῳ αἶνος.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Τὴν χάριν τοῦ παναγίου πνεύματος
λαβών, μακάριε,
τὴν ταπεινήν μου φώτισον ψυχήν,
ἐκκαθαίρων τὰ χείλη μου,
5 ἵνα ᾠδὴν ἐπάξιον
τῶν ἐγκωμίων σοι προσείποιμι.

Ὡς πλοῦτον περιφανῆ καὶ ἄφθαρτον
τὰς ἀρετὰς ἐφευρὼν
f. 69 ἐν κροσσωτοῖς χρυσοῖς, πάτερ ‖ σοφέ,
10 βεβλημένος δὲ ταύτας ἀεί,
ἐκ δεξιῶν παρέστηκας
πεποικιλμένος τοῦ δεσπότου σου.

---

tit. Ἕτερος κανὼν τοῦ ἁγίου Βλασίου, ἦχος δ', ὁ αὐτὸς εἱρμὸς Ci Ὁ κανών, ἦχος δ', φέρων ἀκροστιχίδα· Τῷ ἱερομάρτυρι Βλασίῳ αἶνος Vq Ὁ κανὼν φέρων ἀκροστιχίδα· Τῷ ἱερομάρτυρι Βλασίῳ αἶνος Cv
heirm. α' EE 94, n. 133, Joannis 6 προείπομεν Ci πρὸς ᾄδωμεν Vq προσήπιμη Cv 7 Ὡς] Ὁ Vq περιφανὲς Vq 8 ἐφευρὼν] ἐκφέρων Vq 9 χρυσοῖς om. Vq 10 περιβεβλημένος Vq περιβέβλησαι Cv δὲ om. Cv 12 τῷ σῷ σωτῆρι παμμακάριστε Vq πεποικιλμένος τὸ δεσπότη σου Cv

---

9-12 Ps. 44,13

Ἱδρῶτι τῶν εὐκλεῶν, πανίερε,
κατορθωμάτων σου
15 ἀνθωμολόγεις σπέρματα ζωῆς·
ἐνδιαίτημα πέφηνας
τοῦ παναγίου πνεύματος
μεθ' οὗ σε πάντες μακαρίζομεν.

θεοτ. * Ἀσπόρως τῷ τοῦ πατρὸς βουλήματι
20 ἐκ θείου πνεύματος
τὸν τοῦ Θεοῦ συνείληφας υἱόν
καὶ σαρκὶ ἀπεκύησας
τὸν ἐκ πατρὸς ἀμήτορα
καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

25 Εὐφραίνεται ἐπὶ σοὶ
ἡ Σεβαστεία παγκλεὴς πόλις σου
σὲ πολιοῦχον κράτιστον
ἔχουσα, θεόληπτε Βλάσιε.

Ῥωννύμεθα τὰς ψυχὰς
30 οἱ προσιόντες σοι θερμῶς, Βλάσιε·
χρεωστικῶς ὅθεν σοι
τὰς εὐεργεσίας κηρύττομεν.

Ὁ βίος σου τηλαυγῶς
καταγλαΐζει τοὺς πιστούς, Βλάσιε,
35 τρεῖς χαρακτῆρας φέρων σοι,
ᾧ σὺν τῇ ἐξόδῳ σου μέλπομεν.

13 Ἱδρώτητι Vq   εὐκλεῶν] ἀρετῶν Ci Vq   15 ἀνθομολόγεις Ci Vq   ὁμολογήσας Cv   σπέρματος Vq   18 μεθῶν Vq   μακαρίζωμεν Cv   19-24 θεοτ. MR II, 410
heirm. γ' EE 94, n. 133, Joannis   26 ἡ Σεβαστεία] κατὰκαυχᾶτε Vq ἡ σεβασμία Cv   29 ταῖς ψυχαῖς Vq Cv   31-32 τρὶς χαρακτῆρας φέρων σοι / ᾧ σὺν τῇ ἐξόδω σου μέλπωμεν Vq; cf. vv. 35-36   32 κηρύττωμεν Cv   33-36 trop. om. Ci   35-36 χρεοστικῶς ὅθεν σοι / τὰς εὐεργεσίας κηρύττωμεν Vq; cf. vv. 31-32   χαρακτήρας φέρων σοὶς σὺν τὴ ἐξόδω σου μέλπωμεν Cv

25 Ps. 5,11   30-31 Ps. 45,4   35-36 Luc. 1,42

θεοτ. * Σὺ μόνη τοῖς ἐπὶ γῆς
τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος,
f. 69v ‖ μήτηρ Θεοῦ, γέγονας·
40 ὅθεν σοι τὸ « χαῖρε » προσάγομεν.

ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία*

Μαρτυρίῳ κατεποίκιλας θεοφρόνως
τὴν ἱερὰν χλαμύδα σου
καὶ ὤφθης τῷ κάλλει
τῆς ψυχῆς ὑπέρλαμπρος,
45 θεόπνευστε Βλάσιε·
ὅθεν ἐπαξίως ὑμνοῦμέν σε.

Ἀναβάσεις διαθέμενος ἐν καρδίᾳ
καὶ ἀπὸ δόξης ἔργοις σου
εἰς δόξαν προβαίνων
50 θαύμασιν ἐξήστραψας,
θεόληπτε Βλάσιε·
ὅθεν καταχρέως ὑμνοῦμέν σε.

Ῥιζοτόμος εὐθενέστατος τῆς κακίας
ἀναδειχθείς, χρηστότητος
55 καὶ δικαιοσύνης
σκεῦος ἐχρημάτισας,
θεάρεστε Βλάσιε·
ὅθεν ἐπαξίως ὑμνοῦμέν σε.

θεοτ. * Ἀπειρογάμως ἐκύησας, ὢ παρθένε,
60 καὶ μετὰ τόκον ὤφθης
παρθενεύουσα πάλιν·

37-40 θεοτ. MR II, 432   40 προσάγομεν] κραυγάζομεν MR   προσάγωμεν Vq
Post odem γ' Cv refert: Κάθισμα. Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,* **Ἀσκήσει καρτερῶς / προστομώσας τὴν σάρκα...** cf. primum canonem s. Blasii
heirm. δ' EE 94, n. 133, Joannis   41 Μαρτυρίου Ci Vq   47-52 trop. om. Ci   48 ἔργων Cv   σου om. Cv   53 Ῥιζοτόμως εὐθαλέστατος τῆς κακίας Vq   58 ἐπαξίως] γιθοσύνως Vq   59-64 θεοτ. MR II, 433

40 Luc. 1,28   47 Ps. 83,6   56 Act. 9,15

ὅθεν ἀσιγήτοις φωναῖς
τὸ « χαῖρέ » σοι, δέσποινα,
πίστει ἀδιστάκτῳ κραυγάζομεν.

f. 70 ᾠδὴ ε′. *Σύ, κύριέ, μου φῶς*
εἰς τὸν κόσμον

65 Τέτρωται ὁ ἐχθρός·
τῆς ὀστώδους γὰρ πνίξεως
παῖς σέσωσται ὁ τῆς χήρας
τῇ ἐνθέῳ πρεσβείᾳ σου,
ἁγιώτατε Βλάσιε.

70 Ὗς ῥύεται βορᾶς
τοῖς ὀδοῦσι νυγεὶς τοῦ θηρός,
ὃν δέδωκας τῷ γυναίῳ
εὐλογίαν σου, πάτερ
ἱερώτατε Βλάσιε.

75 Ῥήμασιν ἱεροῖς
καταπλήξας τὸν τύραννον,
« σάρξ — ἔφης γάρ — πρόκειταί σοι
οὐχὶ πνεῦμα εἰς θάνατον »,
ἁγιώτατε Βλάσιε.

θεοτ. 80 * Σὲ ὅπλον ἀρραγὲς
κατ᾽ ἐχθρῶν προβαλλόμεθα,
σὲ ἄγκυραν καὶ ἐλπίδα
τῆς ἡμῶν σωτηρίας,
θεόνυμφε, κεκτήμεθα.

---

64 κραυγάζωμεν Vq Cv
heirm. ε′ EE 94, n. 133, Joannis 66 ὀστώδου Ci ὀστόδου Vq Cv 68 τῇ] σῦ Cv σου om. Ci Cv 69 ἱερώτατε Βλ. Cv 70 Ὗς] Ὡς Vq 73 εὐλογεῖς ὁλοκλήρῳ Vq εὐλογίαν ὁλόκληρον Cv 77 ἔφης γὰρ] ἔφησας Cv 78 πνεῦμα] πάντα Ci Vq 79 ἀνδρειότατε βλ. Vq Cv 80-84 θεοτ. MR II, 434 81 προβαλλώμεθα Cv

---

63 Luc. 1,28 82-83 Hebr. 6,19

65-69 cf. Latyšev, *Menologii*, I, 48-49, 329-330
70-74 cf. Lătyšev, *o.c.*, 49, 330

f. 70ᵛ ᾠδὴ ϛ′. *Θύσω σοι*
μετὰ φωνῆς

85 Ἴχνεσιν
τοῖς τοῦ κυρίου, πάτερ, ἑπόμενος
τὴν κεφαλὴν διαθλάττεις
τὸν Ἀδὰμ τοῦ πάλαι πτερνίσαντος
εὐανδρείως,
90 ἱεροκῆρυξ Βλάσιε ὅσιε.

Βέλεσιν
τυραννικοῖς βαλλόμενος ὄριον
τῷ τῆς ψυχῆς ἀκοντίῳ
τοὺς ὑπεναντίους κατέφλεξας
95 θεοφρόνως,
ἱεροπάτερ Βλάσιε ἔνδοξε.

Λέοσιν,
πυρί, λιμῷ τε καὶ δίψῃ καὶ ξίφεσιν
καὶ μηχαναῖς ὀλεθρίοις
100 συμπλακεὶς ἐνίκησας κατὰ κράτος
θείῳ σθένει,
ἱεροπάτορ Βλάσιε ὅσιε.

θεοτ. * Ὢ θαῦμα
τῶν ἁπάντων θαυμάτων καινότερον!
105 ὅτι παρθένος ἐν μήτρᾳ
τὸν τὰ σύμπαντα περιέποντα
ἀπειράνδρως
συλλαβοῦσα οὐκ ἐστενοχώρησεν.

---

heirm. ϛ′ EE 94, n. 133, Joannis 86 κυρίου] πνεύμα[illegible] Cv 92 τυραννικῆς προβαλλόμενος ὅσιε Vq ὄριον] ῥύσαιως Cv 93 [illegible]χῆς] εὐχῆς Vq 94 τοὺς ὑπεναντίους δὲ ἐκατέφλεξας Ci 96 ἱερομάρτυς [illegible]άσιε ἔντιμε Vq ἱερομάρτυς βλάσιε τίμιε Cv 97-102 trop. om. Ci Cv 99 καὶ μηχανὰς ὀλεθρίους Vq 103-108 θεοτ. MR II, 435 10[illegible] [illegible]εριέχοντα MR 108 οὐκ ἐστενοχώρησεν om. Ci
Post odem ϛ′ Vq tradit: Κονδάκιον. Ἦχος β′. Πρὸς [illegible] *Τὰ ἄνω ζητῶν* Ὁ θεῖος βλαστός, / τὸ ἄνθος τὸ ἀμάραντον ... = MR III, 567. [illegible] οἶκος. Πρὸς τό·

85-86 I Petr. 2,21

f. 71

ᾠδὴ ζʹ. *Ἐν τῇ καμίνῳ*
Ἀβραμιαῖοι

Ἀποσφαλμάτων
110 τῶν δυσάθλων τὴν ἰατρείαν εἴληφας,
χάριν
ἀντὶ χάριτός τε ταύτην λαβὼν
ἐκ Θεοῦ τὴν τῆς ἀφέσεως·
διὸ ὑμνοῦμέν σε,
115 ἱερομύστα πάντιμε Βλάσιε.

Σὺν ἑπταρίθμῳ
θεοσεβῶν γυναίων φάλαγγι
θείαις
ἐν ᾠδαῖς τὸν τούτων παιδαγωγὸν

Τράνωσόν μου - Ἄμπελος ὤν, / Χριστέ, ζωηφόρος / ἡ βλαστάνουσα κόσμῳ (κόσμου cd.) / ἀρετῶν τοὺς τερπνοὺς / καὶ ὑπερτίμους σου βότρυας, / δίδου Βλασίου ταῖς ἱκεσίαις / γλυκασμόν μοι ἐξ ὕψους / τῶν σῶν χαρίτων· / εὔφρανον οὖν / τοῖς οἰκτιρμοῖς σου (τῶν οἰκτιρμῶν σου cd.) / ἐνθέως, φιλάνθρωπε, / καὶ δεῖξον ὕμνον γεραίρειν / τὴν τοῦ σοῦ ἱεράρχου πανήγυριν· / αὐτὸς γὰρ πίστει δεόμενος / δυσωπεῖ ἱκετεύων σε, εὔσπλαγχνε, / πρεσβεύων ἀπαύστως / ὑπὲρ πάντων ἡμῶν. Cv haec refert: Κονδάκιον. Ἦχος δʹ. Πρὸς τό· *Δυνάμει θεϊκῇ* Τὸν θεῖον ἀθλοφόρον / ἱεροπρεπῶς / καταστέψωμεν ᾠδαῖς, / Βλάσιον τὸν θαυμαστόν· / πρέσβευε, μάρτυς, πρὸς τὸν σωτῆρα / ὑπὲρ πάντων τῶν τιμώντων σε. <Ὁ οἶκος>. Ὡς ἄριστον / ποιμένα καὶ μάρτυρα / καὶ ἀθλοφόρον ἀληθῶς / συνελθόντες ἡμεῖς / εὐφημοῦμέν σε, μάρτυς ἀοίδιμε· / δέχου ὡς δῶρον, / μάκαρ, τοὺς ὕμνους / ἡμῶν τῶν ἀναξίων / καὶ δίδου χάριν / τοῖς ὑμνοπλόκοις, / Βλάσιε σοφέ· / σὲ γὰρ Χριστὸς καθηγίασεν / καὶ μιμητήν σε ἀνέδειξεν / ἐν τοῖς βασάνοις στερρότατον· / πρέσβευε, μάρτυς, πρὸς τὸν σωτῆρα / ὑπὲρ πάντων τῶν τιμώντων σε.

heirm. ζʹ EE 94, n. 133, Joannis   109 Ἀποστελμάτων Vq   Ἀπὸ στεμμάτων Cv   110 τῶν δυσαθλῶν Ci Cv metri causa   δυσάθλων Vq   εἴληφας] λαβὼν Ci   112 ἀντὶ χάριτος καὶ δόξαν ἀεὶ Cv   τε] δόξαν Vq   113 ἐκ θεοῦ τὴν σῆς ἀθλήσεως Vq Cv   115 ἱερομάρτυς Vq Cv   116 πενταρίθμῳ cdd.   117 φάλαγγες Cv   119 τούτοις Ci   τούτους Vq   τοῦτον Cv

---

116-117 ... ἐπεὶ δὲ καὶ κατενεχθῆναι τοῦ ξύλου μὲν ἐκελεύετο, τῇ φρουρᾷ δὲ καὶ αὖθις παρεπέμπετο, προϊόντι πρὸς τὴν φρουρὰν γυναῖκες ἠκολούθουν ἑπτά, τὴν πίστιν εὐσεβεῖς, τὸν βίον τῇ εὐσεβείᾳ σύμφωνον ἔχουσαι· αὗται τοίνυν ἀκολουθοῦσαι τὰς πιπτούσας ἐδέχοντο τῶν αἱμάτων ῥανίδας καὶ ταύταις ἁβρότερον ἢ αἱ φιλόκοσμοι τοῖς μύροις ἑαυτὰς ἔχριον· ἀμέλει καὶ μισθὸν μέγαν τῆς μεγάλης αὐτῶν πίστεως ἐδέχοντο κατὰ πόδας, μαρτυρικῆς δόξης ἀρχὴν καὶ πρόφασιν τόνδε τὸν τρόπον εὑροῦσαι... LATYŠEV, *o.c.*, 332[19-26]; cf. ibidem, 50[15-20]

120 καὶ συμμάρτυρα δοξάσωμεν
ἐπαγαλλόμενοι
οἱ θεόφρονες, Βλάσιον, σήμερον.

τριαδ. Ἱερουργόν σε
καὶ ἀθλοφόρον ὄντα ὅσιον,
125 πάτερ,
ἡ Τριὰς παρέσχε σοι ἐμφανῶς
καὶ τριττόπλοκον διάδημα,
χάριν ἰάσεων,
βασιλείαν καὶ δόξαν αἰώνιον.

θεοτ. 130 * Τὸ τοῦ ὑψίστου
ἡγιασμένον, θεῖον σκήνωμα,
χαῖρε·
διὰ σοῦ γὰρ δέδοται ἡ χαρά,
θεοτόκε, τοῖς κραυγάζουσιν·
135 « εὐλογημένη σὺ
ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε ».

f. 71v

ᾠδὴ ηʹ. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Ὥσπερ χαρακτῆρα εὐκρινῆ
τὰ κατορθώματα,
τὴν ἱεράν σου στολὴν
140 καὶ τὴν ἄθλησιν ἔχοντες
φωτιζόμεθα· δοξάζοντες
τὴν ἐκδημίαν σου πιστῶς,
Βλάσιε, μέλπομεν·
« εὐλογεῖτε,
145 πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

Αἴνει τὸν φωστῆρά σου τερπνὸν
καὶ ἀρχιποίμενα,

---

126 παρέχει σε Vq   128-129 εὐλογημένος Ci   129 αἰώνιον] οὐράνιον Cv   130-136 θεοτ. MR II, 437

heirm. ηʹ EE 94, n. 133, Joannis   137-145 trop. om. Ci; idem trop. in app. cr. vv. 169-177 canonis XIII habeas.   137 Ὥσπερ χαρ[illegible] εὐηκρινῆ Vq   143 καὶ ἀρχιποίμενα Vq, cf. v. 147   μέλπωμεν Cv   145 v. om. Vq Cv   146 τερπνὸν] πιστῶς Vq   τερπνῶς Cv

ἡ Σεβαστεία πόλις,
τὸν πολιοῦχόν τε Βλάσιον
150 καὶ προστάτην, ἑορτάζουσα
πνευματικῶς τὴν παγκλεῆ
τούτου μετάστασιν·
« εὐλογεῖτε,
πάντα τά ἔργα κυρίου, τὸν κύριον ».

155 Ἴασαι βυθῷ ἁμαρτιῶν
τὴν νηχομένην μου
ψυχήν, μακάριε,
καὶ συγκυβέρνησον, Βλάσιε,
τὴν ζωὴν τῶν ἐκτελούντων σου
160 τὴν ἱερὰν καὶ φωταυγῆ
μνήμην σου, ὅσιε·
« εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

θεοτ. * Σὺ μόνη ἐν πάσαις γενεαῖς,
165 παρθένε ἄχραντε,
μήτηρ ἐδείχθης Θεοῦ·
σὺ τῆς θεότητος γέγονας
ἐνδιαίτημα, πανάμωμε,
μὴ φλογισθεῖσα τῷ πυρὶ
170 τοῦ ἀπροσίτου φωτός·
ὅθεν πάντες
σὲ εὐλογοῦμεν, Μαρία θεόνυμφε.

f. 72 ᾠδὴ θ΄. *Λίθος ἀχειρότμητος ὄρους*

Νέκρωσιν δι' αἵματος ἔστης,
ὑπὲρ κυρίου ὑπομείνας·
175 εὗρες τὴν ἀμείνονα ζωὴν

---

148 σεβαστία Cv 149 τὸν] σὲ Ci idem om. Vq τε] σε Vq 150 ἑορτάζουσαν Vq 153 καὶ βοῶντα Vq καὶ βοάτω Cv 154 cdd. varie recidunt orationem 156 νηχομένην] ἐχομένην Vq 158 κυβέρνισον Vq 161 μνήμην κραυγάζοντες Vq μνήμην κραυγάζωντας Cv 162-163 cdd. varie contrahunt orationem 164-172 θεοτ. MR II, 438
heirm. θ΄ EE 94, n. 133, Joannis 173 ἔστης] πάτερ Vq πίστει Cv 175 εὗρες γὰρ αἰώνιον ζωῆν Cv

ἐν τοῖς ὑψίστοις,
ἅγιε Βλάσιε,
σὺν ταῖς ἀΰλοις τάξεσιν
ᾆσμα τρισάγιον προσφέρων Θεῷ.

180 Ὅσοι τὴν ἐτήσιον μνήμην
ἐπιτελεῖτε ταύτην πόθῳ
τοῦ ἱεροάθλου Βλασίου
σὺν τῇ καλλίστῃ
καὶ γηραιᾷ γυναικὶ
185 τὴν εὐλογίαν δρέψασθε
εὐθηνουμένην, ἀδιάλειπτον.

Σῴζοις τοὺς πνιγμῷ τῷ ὀστώδει
κεκρατημένους, ἱεράρχα —
τοῦτο γὰρ κεκλήρωσαι δῶρον
190 νῦν ἐξαιρέτως
παρὰ Χριστοῦ τοῦ Θεοῦ
ἀθλοπρεπῶς, μακάριε —
ἵνα σε πάντες μεγαλύνωμεν.

θεοτ. * Στήριξον ἐν πέτρᾳ με, μόνη
195 τῶν γηγενῶν ἡ προστασία,
τῆς ὑπομονῆς καὶ ἐν ταύτῃ
τοὺς ἀντιθάσους
θραῦσον πολέμους μου·
Θεὸν γὰρ σὺ γεγέννηκας·
200 δοξάζω πίστει τὴν ᾠδὴν ἐκπληρῶν.

---

176 ἐν τοῖς] τὴν ἐν Cv 178 τοῖς ἀΰλοις cdd. 179 προσφέρων Θεῷ] πρόσᾴδοντες Vq προσφέρων] πρόσάγων Cv 180 μνήμην] ταύτην Cv 181 ἐπιτελοῦντες Ci Vq ἐπιτελῆτε Cv ταύτην] μνήμην Cv 182 τῶ Vq 185 δρέψασθαι Ci Vq vv. 187-193, cf. app. cr. vv. 199-204 canonis XIII 187 Σώζεις τοῦ πνιγμοῦ τοῦ ὀστῶδους Vq Σώζεις Ci Σώζης Cv ὀστώδη Ci ὀστόδει Cv 188 ὀδυνομένους ἱεράρχα Vq Cv 189 τούτω Vq Cv 190-191 ἐνάιξερέτως / χριστοῦ τοῦ θεοῦ ἡμῶν Vq ἐνεξερέτως παρὰ χριστοῦ τοῦ θεοῦ Cv 193 ἵνα] διὸ Vq Cv μακαρίζομεν Vq μεγαλύνομεν Ci 194-200 θεοτ. AA.SS. Nov. I, 521; pro hoc Cv refert: Ἄξιον ἐν σοί, θεοτόκε, / τοῖς ἀποροῦσι λόγον φράσαι· / σὺ γὰρ τῶν αἰώνων τὸν κτίστην / Θεὸν τεκοῦσα, / ἀφράστως τοῖς ἐπὶ γῆς ἐγέννησας· / ὅθεν σε πάντες μεγαλύνομεν 195 προστασία] σωτηρία AA.SS. 199 Θεὸν γάρ σε γεννήσασαν AA.SS. 200 ἐκπληρῶ Vq

---

180-186 cf. LATYŠEV, *o.c.*, 49-50, 331-332

11 FEBR. *CANON* XV

IN SANCTUM BLASIUM EPISCOPUM SEBASTIAE

Reg. gr. 54 = Lm, ff. 63-63v
Mess. gr. 139 = Ma, ff. 182-184
Barber. gr. 409 = Bf, ff. 111v-121

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Βλάστημα πνεύματός σε μέλπω, Βλάσιε.

Ἦχος β'. *Ἐν βυθῷ κατέστρωσε ποτὲ*

Βαρυθέντα πλήθεσι κακῶν
καὶ τῆς ἀπογνώσεως
ἐν τῷ βυθῷ δυσχερῶς ὀλισθήσαντα
σαῖς πρεσβείαις, Βλάσιε,
5 ἀνακάλεσαι πρὸς λιμένα σωτήριον
φέρων ἐν γαλήνῃ
πνεύματος τοῦ θείου αὔραις, ἔνδοξε.

Λαμπρυνθεὶς ποικίλαις ἀρεταῖς
καὶ δοχεῖον ἔντιμον
10 καὶ καθαρὸν τοῦ πνεύματος γενόμενος,
ἐπὶ τελειότητα

tit. Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Βλάστημα πνεύματός σε μέλπω, Βλάσιε Lm; Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Βλάστημα πνεύματός σε μέλπω, Βλάσιε Ma; Εἰς τόν ὄρθρον, εἰ τύχει ἐν μ̅, λέγομεν ἀλληλούϊα καὶ τὰ τριαδικά. ὁ κανὼν τοῦ ἁγίου εἰς η' Bf; in margine cd. Ma, prope acrostichidem, nomen Θεοφάνους cernitur; cd. Bf duos canones, alternatis odis, praebet: pior· quem huc referimus, alter inc. Ὕμνοις τὴν φωσφόρον καὶ σεπτήν ... MR III, 564

heirm. α' EE 34, n. 46, Joannis 1 πλήθεσι] πάθεσι Ma 3 δυσχερῶν Lm 4 σαῖς] ταῖς Bf 7 τοῦ θείου] ἁγίου Ma 8 ἀρεταῖς] ἀστραπαῖς et in margine ἀρεταῖς Ma 11 τελειότητι Ma

1 Ps. 37,4

ἀναγόμενος ἀρετῶν, μάρτυς Βλάσιε,
ὤφθης παραστάτης
μυστικῆς τραπέζης, ἱερώτατε.

15 Αἴγλῃ θείου, πάτερ, φωτισμοῦ
περιαυγαζόμενος
ὤφθης ἡμῖν Χριστὸν μελίζων ἄνθρακα,
παθῶν καθαρτήριον
καὶ ψυχῶν τε σωτήριον ἅμα
20 σῶμα ἀκηράτως
τοὺς δεδοξασμένους ἐργαζόμενον.

θεοτ. Συντραφέντα πάθεσι, σεμνή,
καὶ συνειλημμένον με
τοῖς λογισμοῖς ἀτόποις, θεονύμφευτε,
25 ἡ Θεὸν κυήσασα
ὁδηγὸν τῶν πλανωμένων, πανάμωμε,
χεῖρα προκιχρῶσα
ἴθυνον πρὸς τρίβον με σωτήριον.

ᾠδὴ γ'. *Ἐξήνθησεν ἡ ἔρημος*

Τοῖς πόνοις ἐρειδόμενος
30 τῶν καμάτων, ἔνδοξε,
τῶν ἱερῶν ἱδρώτων σου
καταμόνας Θεῷ, πανόλβιε,
λαλεῖν ποθήσας, εὗρες τὸ ζητούμενον.

12 ἀναγενόμενος ἀρ. μύστης βλ. Bf 17 χριστοῦ Ma Bf ἄνθρακας Bf 18 καθαρότητι Bf 19 τῶν ψυχῶν δὲ Ma καὶ τῶν ψυχῶν τε Bf ἅμα] ἴαμα Ma Bf 20 ἀκηράτοις Ma ἀκηράτω Bf 21 δοξαζομένους Bf ἐργαζόμενος Ma Bf 24 τοῖς om. Bf ἀτόποις] ἀτόνοις Ma 26 ὁδηγῶν τῶν πλανωμένων ἄχραντε Ma 27 χεῖρα] χαρὰ Bf 28 με] τὴν Ma

heirm. γ' EE 34, n. 46, Joannis 29 ἐριδόμενος Lm 33 λαλεῖν] λαβεῖν Bf

33 Matth. 12,46; ibidem 7,7 34 Is. 40,3

Ἡ ἔρημος, ὡς λύχνον σε
35 κεκτημένη πάμφωτον,
σιγῶσα κῆρυξ γέγονεν,
σῶν θαυμάτων ἀλόγων πλῆθός τε
μηνύει προβαλοῦσα λογικώτατα.

Μνημόνευε πρὸς κύριον
40 τῶν ὑμνούντων, Βλάσιε,
τὴν ἱεράν σου ἄθλησιν,
ἐφαπλῶν σου, πάτερ, τὸ εὔσπλαγχνον
τοῖς ἐπικαλουμένοις, παναοίδιμε.

θεοτ. Ἀπέρριμμαι εἰς ἄβυσσον
45 τῶν κακῶν μου, πάναγνε,
καὶ τρικυμίας κλύδων με
καταιγίς τε ἁμαρτημάτων ὠθεῖ,
ἀλλά με σαῖς πρεσβείαις ἀνακάλεσαι.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Εὐσεβείας ὑπάρχων γόνος σεπτὸς
....

34 λύχνος Lm 38 μηνύων cdd. προλαλοῦσα Ma λογικώτατα] ζωάρχικότατε Bf 39 Μνημόνευσον Bf 40 εὐφημούντων Bf Βλάσιε] ὅσιε Ma 42 ὑφαπλῶν Bf 43 τοὺς ἐπικαλουμένους Ma σε post ἐπικαλ. add. Bf 47 τε om. Ma

Κάθ., cf. canonis XIII app. crit.; Bf post odem γ' tradit: Κάθισμα. Ἦχος γ'. *Θείας πίστεως ὁμολογίᾳ* Θείῳ πνεύματι πεφωτισμένος, cf. canonem XII, Ἕτερον. Ἦχος πλ. δ'. *Τὴν σοφίαν* Ἐκβλαστήσας ὡς δένδρον πανευθαλές, cf. canonem XII et MR III, 565; Δόξα. Ἦχος α'. *Τὸν τάφον σου* Ἀσκήσει καρτερᾷ προστομώσας τὴν σάρκα, cf. canonem XI; Καὶ Νῦν. Θεοτοκίον· ὅμοιον. Παρθένον σε ἁγνὴν / καὶ ἀμόλυντον ὅλην / ὁ Λόγος εὑρηκώς, θεοτόκε παρθένε, / ἠξίωσεν ὡς εὔσπλαγχνος / κατοικῆσαι ἐν μήτρᾳ σου / καὶ φορέσας μου / τὴν χοϊκὴν φύσιν, κόρη, / προελήλυθε, / διπλοῦς ἐν δύο οὐσίαις / υἱὸς εἷς νοούμενος. Σταυροθεοτ. ὅμοιον. Ἐν τόπῳ Γολγοθᾶ / προσπαγέντα σε, Λόγε, / ἡ ἄχραντος ἀμνὰς / καθορῶσα πάλαι / θρηνοῦσα κατέξαινε / παρειὰς καὶ ἐβόα σοι· / « τέκνον φίλτατον, πῶς ὑπομένεις ἀδίκως, / θανατούμενος ἐπὶ σταυροῦ ὡς κακοῦργος, / κριτὰ δικαιότατε; »

ᾠδὴ δ'. *Ἐλήλυθας ἐκ παρθένου*

Πρὸ βήματος
50 δικαστῶν παρανόμων ἀγόμενος
Θεὸν ὡμολόγησας
καὶ ψευδωνύμους κατῄσχυνας,
Βλάσιε, τοὺς δαίμονας,
γενναιοτάτως ἐκτρέπων παρατάξεις αὐτῶν.

55 Νεκρώσεως
τοὺς χιτῶνας ἀπέθου ξεόμενος,
καὶ περιρρεόμενος
ἀθλητικοῖς σου τοῖς αἵμασιν
ἄντλημα ἐπέχεες
60 τοῖς προσιοῦσι τραυμάτων καθαρτήριον.

Ἐν ὕδατι
καφαλὰς τῶν δρακόντων τῷ θλάσαντι
Θεῷ ἐνηδόμενος,
πάτερ, δι' ὕδατος ὄλεθρον
65 θεόθεν ἐπήγαγες
ὑπασπισταῖς τοῖς τοῦ σκότους, ἱερώτατε.

θεοτ. Ὑλώδους με
καχεξίας παρέντα βροχίσμασιν,
ἡ Χριστὸν κυήσασα,
70 τῶν αἰχμαλώτων τὴν ἄφεσιν,
λύτρωσίν μοι βράβευσον
καὶ ταῖς ἀΰλων χορείαις συναρίθμησον.

heirm. δ' EE 34, n. 46, Joannis 50 δικαστῶν] δεινοῦ τῶν Ma ἀγόμενος] γενόμενος Bf 51 ὁμολόγησας Lm Ma Bf 54 γενναιότρόπως Bf 58 ἀθλητικόν Bf 60 ὑπασπισταῖς τοῖς τοῦ σκότους ἱερώτατε Lm; cf. v. 66 61 ὕδασι Ma Bf 62 τῷ om. Ma 63 θεῷ ἐρειδόμενος Ma Bf 66 τοῖς προσιοῦσι τραυμάτων καθαρτήριον Lm; cf. v. 60 ὑπασπιστὰς Ma τοῖς] τοὺς Bf 68 βροχίμασιν Ma βροχήμασιν Bf 69 κυήσασαν Bf 71 μοι] τε Bf 72 ἀΰλοις Bf

49-54 cf. LATYŠEV, *Menologii*, I, 49, 331
55-58 cf. LATYŠEV, *o.c.*, 50, 332
61-66 cf. LATYŠEV, *o.c.*, 52, 335

ᾠδὴ ε΄. *Μεσίτης Θεοῦ*
καὶ ἀνθρώπων

Μαρτύρων πλοκὰς
καὶ ἀγῶνας σκάμμασι δεικνύμενος
75 νικητὴς ἐγνώρισαι,
Βλάσιε πανάριστε,
ποιμὴν ἀγαθὸς
καὶ παρθένων ἀλείπτης
καὶ ὀρφανῶν παράκλησις.

80 Αἱμάτων ῥοαῖς
αἱ παρθένοι μάρτυρες σφραγίσασαι
τοῦ ἱερομάρτυρος
ἑαυτάς, ἀνέθεντο
κυρίῳ πιστῶς,
85 διὰ πόνων εὑροῦσαι
ἀΐδιον ἀπόλαυσιν.

Τὸ θῆλυ σαφῶς
εἰς ἀνδρείαν γύναια ἀμείψαντα
ἐχθρὸν ἐτροπώσαντο
90 καὶ κατηγωνίσαντο
εἰδώλων ὁρμὰς
καὶ τῆς νίκης βραβεῖα
παρὰ Χριστοῦ ἐδέξαντο.

θεοτ. Ὁ κλύδων δεινῶς
95 τῶν πλημμελημάτων, θεονύμφευτε,
χειμάζει με· δέομαι,

heirm. ε΄ EE 39, n. 53, Cosmae 73 πλοκαῖς Bf 74 ἀγώνων Ma Bf 75-76 νικήσας ἐγνώρησας / βλάσιε πανάριστε Bf 76 πανάριστος Ma 78 ἀλήπτης Lm 81 παρθένοι] πάνσεμνοι Bf ἐσφράγισαν Ma 86 ἀοΐδιον Ma 87 Τῶ Bf 88 ἀνήψαντο Ma ἠμείψαντο Bf 89 ἐχθρούς Ma 95 μου post πλημ. add. Ma Bf θεόνυμφε Ma Bf

80-93 cf. LATYŠEV, *o.c.*, 50-51, 332-334

92 I Cor. 9,24

σαῖς πρεσβείαις εὔνασον,
πανάμωμε,
καταιγίδος τὸ κῦμα
100 καὶ θείως χειραγώγησον.

ᾠδὴ ϛ΄. *Πρὸς κύριον*
ἐκ κήτους

Στεφανίτης
ἀθλητής, ἱερεὺς ἱερώτατος,
ποιμὴν πανάριστος,
ἰατρὸς πανυπερθαύματος,
105 παρθένων νυμφευτής,
ὀρφανῶν ὑπέρμαχος
ἀνεδείχθης σαφῶς, μάκαρ Βλάσιε.

Σοῦ τῷ πόθῳ
τῆς ἀγάπης τρωθεῖσαι, φιλάνθρωπε,
110 παρθένοι ἄμεμπτοι
πυρός, ὕδατος καὶ ξίφους τε
περιφρονήσασαι,
τὴν ζωὴν τὴν ἄληκτον
εὐφροσύνης θανάτῳ δὲ εὕραντο.

θεοτ. 115 Ἐπὶ σοί μου
τὰς ἐλπίδας ἐθέμην, πανύμνητε·
μὴ καταισχύνῃς με,

97 εὔνασον] σκέπασον Ma 99 τὸ om. Bf κῦμα] καῦμα Ma 100 θεία Ma heirm. ϛ΄ EE 39, n. 53, Cosmae; heirm. integer in Bf 102 ἱερώτατος] ὁσιώτατος Ma Bf 103 δὲ post ποιμὴν add. Bf 107 μάκαρ] [illegible] Bf 108 τοῦ πόθου Lm Ma τὸ πόθω Bf 109 φιλάνθρωπε] ὦ κύριε Bf 110 παρθένιοι ἄμ. Lm παρθένοι οἱ ἄμ. Bf 111 πυρός τε ὕδατος καὶ ξίφους τε Bf 114 εὐφροσύνην ἀθάνατον εὕραντο Ma εὐφροσύνην θανάτω τὲ εὕραντο Bf 116 ἐθέμην τὰς ἐλπίδας πανάχρανται Bf

108-114 Cf. LATYŠEV, *o.c.*, 50-51, 332-334

115-116 Ps. 72,28

μὴ εἰς τέλος τε ἀπόλωμαι·
πρεσβείαις σου, ἁγνή,
120 σῶσον περιστάσεως,
ἐν ἐμοὶ τὴν σὴν χάριν δεικνύουσα.

Κονδάκιον.

Ἦχος β΄. ⟨*Τοῖς τῶν αἱμάτων*⟩

Τῇ τοῦ ἀμέμπτου σου βίου λαμπρότητι

....

Ὁ οἶκος.

Χάριν μοι δώρησαι οὐρανόθεν

....

118-121 νῦν ἀπὸ τῆς προσδοκίας μου / ἀλλὰ ταῖς σαῖς λιταῖς / πρὸς θεὸν ὃν ἔτεκες / σωτηρίας με θείας ἀξίωσον Bf 118 ἀπόλλυμαι Ma 120 περιστάσεων Ma 121 δεικνύσαν Ma

κοντάκ. et οἶκ. PAS I, 586; cf. atque canonem XII; in Lm post odem ς΄ legimus synaxarium s. Blasii, inc. Οὗτος ὁ μακάριος ὑπῆρχεν, de quo cf. Synax. Eccl. CP., 457; Bf post odem ς΄ praebet: Κοντάκιον. Ἦχος β΄. *Τὰ ἄνω ζητῶν* Ὁ θεῖος βλαστός, / τὸ ἄνθος τὸ ἀμάραντον, / ἀμπέλου Χριστοῦ / τὸ κλῆμα τὸ πολύφορον, / θεοφόρε Βλάσιε, / τοὺς ἐκ πόθου[1] τελοῦντας τὴν μνήμην σου / εὐφροσύνης τῆς σῆς ἔμπλησον,[2] / πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν. Ὁ οἶκος. Μύρῳ[3] Θεοῦ χρισθεὶς ὁ θεοφόρος[4], / κλέος ἱερὸν ἱεραρχῶν σοφῶν[5] / ταῖς πράξεσιν ἀναδέδεικται[6] / καὶ[7] ἀθλοφόρων ἐν ταῖς χορείαις / ἀθλοφόρος ὠράθη καὶ στεφανίτης· / τῆς Ἀαρὼν ὑπερήρθη[8] θυσίας / ὡς μύστης Χριστοῦ,[9] / σὺν Ἄβελ ἅμα τῷ θείῳ[10] / ἀνακράζων[11] τῷ Θεῷ τὴν σφαγὴν αὐτοῦ / καὶ θρόνῳ σεπτῷ[12] τοῦ κτίσαντος / παρίσταται[13] σὺν ἀγγέλων τάγμασι[14], / πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν[15] (= MR III, 567, TRM, III, σμθ΄, AK, 102: [1] τοὺς ἐν πίστει MR TRM [2] εὐφροσύνης πλήρωσον τῆς σῆς MR AK εὐφροσύνης τῆς σῆς πλήρωσον TRM [3] Χρίσμα Bf Ῥώμη AK [4] θεόφρων MR TRM AK (οἶκ. tantum primum v. refert TRM). [5] εὐκλεὴς ἱεράρχης, / [6] λειτουργός τε Θεοῦ / ἐν πράξεσι θείαις δέδεικται MR κλέος ἱεραρχίας / ἱεράρχαις σοφοῖς / ἐν πρ. θείαις δέδ. AK [7] καὶ] τῶν AK [8] ὑπερήρθεις θυσίαις AK [9] ὡς Χριστοῦ μιμητὴς MR [10] σὺν Ἄβ. αἷμα τὸ τούτου MR σὺν Ἄβ. αἵματι θείῳ AK [11] ἀνακράζει MR AK τῷ om. MR AK [12] σεπτῷ] θείῳ MR [13] παρεστὼς MR AK [14] σὺν ἀγγ. στρατεύμασι MR τοῖς στέγμασιν πρεσβεύων AK [15] v. om. AK), in eodem cd. post haec legitur: Τῷ αὐτῷ μηνὶ ια΄. Τοῦ ἁγίου ἱερομάρτυρος Βλασίου ἐπισκόπου Σεβαστείας. Στίχοι. *Λαιμὸν Βλάσιος ἐκκοπεὶς διὰ ξίφους* ... (= MR III, 567). Οὗτος ἦν κατὰ τοὺς χρόνους Λικινίου τοῦ βασιλέως... (cf. Synax. Eccl. CP., 457). Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τῶν ἁγίων ζ΄ μαρτύρων γυναικῶν καὶ τῶν δύο βρεφῶν. ⟨Στίχοι⟩. *Βαβαὶ τοσαύτης παιδίων εὐθαρσίας*... (= MR III,

f. 63ᵛ ᾠδὴ ζ΄. *Ἀντίθεον πρόσταγμα*

Μαρτύρων τὰ σκάμματα,
μαρτύρων ἄθλους,
μαρτύρων τὴν ἔνστασιν
125 προβλέπων, μάκαρ Βλάσιε,
μαρτύρων ἀπείληφας
τὰ γέρα, πάτερ σοφέ,
κράζων ἀκατάπαυστα·
« ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος ».

130 Ἐν γῇ τοὺς ἀγῶνάς σου,
ἐν οὐρανοῖς δὲ
ἐπάλθων τὰ στέμματα,
ἱερομάρτυς, δέδεξαι
διπλῆν κομιζόμενος
135 ἀντιμισθίαν τερπνήν,
μέλπων ἀγαλλόμενος·
« ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος ».

θεοτ. Λειμὼν εὐωδέστατος
ἄνθος τὸν Λόγον
140 κυπρίζουσα πέφηνας,
Χριστόν, εὐωδιάσαντα,
παρθένε, ἀνθρώπινον

568). Τῇ αὐτῇ ἡμέρᾳ. Ἡ εὕρεσις τοῦ λειψάνου τοῦ ἁγίου προφήτου Ζαχαρίου, πατρὸς τοῦ Προδρόμου. ⟨Στίχοι⟩. *Φανεὶς ὁ νεκρὸς γῆθεν ὁ Ζαχαρίου*... (cf. SMM, 57) Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τῆς εὐσεβεστάτης καὶ ἀειμνήστου Θεοδώρας τῆς βασιλίσσης τῆς ποιησάσης τὴν Ὀρθοδοξίαν. Στίχοι.

Ἔχεις, βασιλίς, καὶ παρ᾽ ἡμῶν τὴν μνήμην
ἔχεις δὲ μέγα καὶ σὺν ἀγγέλοις κλέος.

Αὕτη ἐγένετο γυνὴ Θεοφίλου τοῦ βασιλέως τοῦ εἰκονομάχου... (cf. Synax. Eccl. CP., 458)

heirm. ζ΄ EE 34, n. 46, Joannis 125 προφαίνων Ma 127 τὰ γέρα χαίρων σοφὲ Ma τὰ γέρα πάνσοφε Bf 133 δέδειξαι Bf 134 κομισάμενος Ma 135 τερπνῶς Ma 139 τῶν λόγων Lm Ma 140 κυπρίζοντα Bf

134-135 I Tim. 5,17 140 Cant. 2,13

γένος, ᾧ κράζομεν
πίστει οἱ σῳζόμενοι·
145 « ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος ».

ᾠδὴ η΄. *Κάμινος ποτὲ πυρὸς*

Πῦρ τῶν ἡδονῶν
πατήσας ἐγκρατείᾳ,
ἀγρύπνοις ἐνστάσεσιν εὐχῶν τε βολῇ,
διῆλθες ἀπόντιστος,
150 ὡς θαλάσσας, τοὺς χειμάρρους παθῶν,
ἱερομάρτυς ἔνδοξε,
μέλπων·
« εὐλογεῖτε, πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

Ὢ τῶν ὑπὲρ νοῦν
155 ἀγώνων σου, τρισμάκαρ!
ὡς ἀλλοτρίῳ γὰρ ἐν σώματι
τυπτούμενος ἔχαιρες
καὶ ξεόμενος ἠγάλλου δὲ
καὶ τέλος τε διὰ ξίφους
160 ζωὴν ἐφεῦρες
καὶ τῶν μαρτύρων τὴν οἴκησιν.

Βίῳ μὲν σεμνῷ,
ἀθλήσει δὲ τιμίᾳ
τῇ καρτερίᾳ εὐψυχήσας στερρῶς,

---

143 κραυγάζομεν Bf 144 πάντες ἀγαλλόμενοι Ma πίστει] πάντες Bf heirm. η΄ EE 34, n. 46, Joannis 147 ἐγκρατείας Ma 148 ἀγρύπνῳ στάσει καὶ εὐχῶν τε βοῇ Ma στάσεσιν Bf 151-153 προφθάνων τε καὶ ἐν πίστει πάντες / ὑμνεῖτε τὸν κύριον / καὶ ὑπερυψοῦτε: Lm; χριστὸν ὡς ἐν λιμένι τῆς ζωῆς / πρόφθασον ἀνακράζων / πάντα τὰ ἔργα Ma 152 ὑπερύμνητε add. Bf 153 v. om. Bf 154 Ὡς Ma 157 τυπτόμενος Ma τυπόμενος Bf 158 δὲ om. Bf 159-161 καὶ τέλους διὰ ξίφους σε θάνατον / ὅθεν ζωὴν εὗρες καὶ τῶν μαρτύρων τὴν οἴκησιν Ma καὶ σκότει καθειργνύμενος / ἔμελπες / εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον Bf 162 Βίον μὲν σεμνὸν Ma σεμνῷ] λαμπρῷ Bf 163 τιμίᾳ] μεγίστῃ Bf 164 τῇ καρτερίᾳ] ἐπ' ἀμφοτέροις Ma

---

154-161 cf. LATYŠEV, *o.c.*, 49-50, 331-332

165 ἱερεὺς ὡς ἄριστος,
σαυτὸν θῦμα παναχήρατον
τραπέζῃ ἀθανάτῳ
προσήνεξαι
τῷ ἀΰλῳ θείῳ δεσπότῃ σου, Βλάσιε.

θεοτ. 170 Λύτρωσιν ἡμῖν
Χριστὸν ἡ τετοκυῖα,
ἡμαρτηκόσιν ἀβουλίᾳ δεινῇ,
παρθένε, ἀνάρρυσαι
καὶ πρὸς τρίβον ἐποδήγησον
175 ἐμὲ τὸν πλανηθέντα,
θεόνυμφε,
ἀνυμνοῦντα τῆς σωτηρίας τὸν αἴτιον.

ᾠδὴ θ΄. *Ἀνάρχου γεννήτορος*

Ἀγγέλων τὴν οἴκησιν
μαρτύρων τε τὸν ὅμιλον,
180 ἱερέων τὴν τάξιν
καὶ ἀσκητῶν τὸν χορόν,
πάτερ, ὁ Χριστὸς ἀνταμείβει
τῶν ἐπὶ γῆς πόνων σου, τρισμάκαρ,
καὶ ξίφους θανάτου δὲ
185 ζωὴν ἄλυπον, πανόλβιε.

167-169 τῷ κτίστῃ σου προσήγαγες / μέλπων ὑπερύμνητε: Bf 167 δὲ post ἀθανάτῳ add. Ma 168-169 ἤνεγκας / ὡς ἀΰλῳ θύων δεσπότῃ σου βλάσιε: Ma 172 ἡμαρτηκότα Bf 175 ἐμὲ τὸν νῦν πλανόμενον Bf 176 πάναγνε Ma τὴν πρὸς τὴν βασιλείαν Bf 177 ἀνυμνοῦντα] καὶ ὑμνοῦντα Ma τὴν ἐπουράνιον φέρουσαν Bf
heirm. θ΄ EE 35, n. 46, Joannis 178 Ἀγγέλων τὸν σύνοικον Ma 179 τε τὸν ὅμιλον] τὸν συνόμιλον Ma 180 ἱερέαν Lm 185 ἄλυπον] ἄδυτον Bf

---

184, cf. LATYŠEV, *o.c.*, 52, 336

---

183 Ps. 118, 112; I Tim. 5,4

Στερρῶς ἐναθλήσασαι,
ποικίλοις καρτερήσασαι
αἱ παρθένοι καμάτοις
ζωὴν ἀΐδιον,
190 ἔνθα τῆς τρυφῆς ὁ χειμάρρους
καὶ καλλονὴ παρθένων ἁγίων,
θανάτῳ διέβησαν
πρὸς νυμφίον τὸν ἀκήρατον.

Ἰάσεων νάματα,
195 θαυμάτων ποταμοὺς καὶ ἡμῖν
εἰς ἀεὶ ἀναβλύζων,
παμμάκαρ Βλάσιε,
τοὺς σοὺς ὑμνητὰς περισκέποις,
παρὰ Χριστοῦ τὴν ῥῶσιν προσνέμων
200 τοῖς προσκαλουμένοις σε,
κληρωσάμενος τὸ δύνασθαι.

•

θεοτ. Ἐν σοὶ τὰς ἐλπίδας μου
ἐθέμην θεονύμφευτε,
ἐπὶ σοὶ καταφεύγω,
205 τῇ θείᾳ σκέπῃ σου·
κόπασον παθῶν μου τὴν ζάλην
καὶ δυσχερεῖς ἐχθροῦ παρατάξεις,
πανάμωμε, ὄλεσον,
σωτηρίαν μοι βράβευσον.

187 ποικίλως Ma; idem om. Bf ἐποικαρτερήσασαι Bf 188 καμάτους Ma 192 θανάτου Lm 195 καὶ om. Ma Bf 198 περισκέπης Lm Bf περισκεπῶν Ma 199 προσνέμοις Ma 200 τοὺς προσκαλουμένους σε Ma Bf 206 παθῶν μου] παρθένε Ma 207 δυσχερὸν Bf ἐχθρῶν Ma Bf 209 βραβεύων ἀεὶ Ma βραβεύου Bf

186-193 cf. LATYŠEV, *o.c.*, 51, 334

202-203 Ps. 72,28

IN SANCTUM MARTINIANUM PALAESTINENSEM

Synaxarium, 461: Οὗτος γέγονεν ἀπὸ Καισαρείας τῆς κατὰ Παλαιστίνην. Ὀκτωκαιδεκάτῳ δὲ ἔτει τῆς αὐτοῦ ἡλικίας, τῆς ἀσκητικῆς ἀγωγῆς ἀπήρξατο ἐν ἐρήμοις καὶ ὄρεσι διαιτώμενος. Ἐκτελέσας δὲ ἐπὶ τῇ ἀναχωρήσει ἔτος πέμπτον καὶ εἰκοστὸν μετὰ πολλοὺς ἑτέρους τοιούτῳ τινὶ πειρασμῷ παρὰ τοῦ πονηροῦ ὑποβάλλεται. Ἑταίρα γάρ τις περιστείλασα ἑαυτὴν ἐπὶ τὸ πενιχρὸν τὸ ὄρος κατέλαβεν, ἔνθα διῆγεν ὁ ἅγιος. Καὶ γενομένης ἑσπέρας, ἀπολοφύρεται ὡς δῆθεν τοῦ πειρασμοῦ· καὶ ἀντικρὺς σταθεῖσα τῆς θύρας τοῦ ἁγίου ὀδυνηρῶς ἐβόα· « Ἐλέησόν με, ἅγιε τοῦ Θεοῦ, τὴν ἐκ τῆς ὁδοῦ πλανηθεῖσαν, μὴ γένωμαι τοῖς θηρίοις βορά ». Ὁ δὲ ἅγιος, ταῦτα ἀκούσας, ἐντὸς ταύτην εἰσάγει. Ὢ τῶν τοῦ πονηροῦ βουλευμάτων! μικρὸν ὅσον οὔπω πτώματι τῷ εἰς ἀκολασίαν ὁ ἅγιος περιέπιπτε, ἀλλ' ὑπὸ τῆς θείας χάριτος πρὶν πεσεῖν ἀνεκλήθη τοῦ πτώματος. Καὶ τί ποεῖ; φρυγάνων πλῆθος συνάψας εἰσῄει μέσον καὶ τῆς σαρκὸς ταπεινώσας τὴν ὕβριν, τῶν δικτύων τῶν διαβολικῶν ἐρρύσθη, τήν τε γυναῖκα σωφρονίσας θείαις νουθεσίαις ἐν μοναστηρίῳ ἐξέπεμψεν. Καὶ αὐτὸς τῶν ἐκ τοῦ πυρὸς φλογῶν ἰαθείς, ὁδηγήσαντός τινος ναυκλήρου, πέτραν τῶν ἐπιθαλασσίων κατέλαβεν, ἀπέχουσαν τῆς γῆς ἡμέρας ὁδόν· ἐφ' ἧς ἐπὶ ι' χρόνους διακαρτερήσας, πάλιν ἐκεῖθεν ἀπανέστη διὰ τὸ κόρην τινὰ ναυαγήσασαν ἐπὶ σανίδος αὐτῷ προσβαλεῖν καὶ ἀναχθῆναι μὲν ὑπὸ τοῦ ὁσίου, αὐτὸν δὲ ἐκεῖθεν ἐξελθεῖν ἐπὶ νώτων δελφίνων ὀχούμενον, καὶ τῇ γῇ προσπελάσαντα· ἐκεῖθέν τε χώρας καὶ πόλεις ἀμείβων καὶ τὰς Ἀθήνας καταλαβών, πρὸς κύριον ἐξεδήμησεν, ἐνδόξου ταφῆς παρὰ τοῦ ἐπισκόπου καὶ παντὸς τοῦ πλήθους ἀξιωθείς.....

Sinait. gr. 602	= Σλ,	ff. 53v-56
Reg. gr. 54	= Lm,	ff. 64v-65v
Paris. gr. 1616	= Po,	ff. 90v-95

῾Ο κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Μαρτινιανοῦ τοὺς δρόμους τρέχων ᾄδω.
⟨᾿Εν δὲ τοῖς θεοτοκίοις· Κ⟨λ⟩ήμεντος⟩

῏Ηχος β΄.

ᾠδὴ α΄. *᾿Εν βυθῷ κατέστρωσε ποτὲ*

Μυστικαῖς ῥημάτων ἐν φωναῖς,
δεῦτε, εὐφημήσωμεν
τὸν ἀσκητὴν τῆς εὐσεβείας σήμερον
Μαρτινιανὸν πιστῶς,
5 ὡς καλῶς καὶ νομίμως ἀσκήσαντα·
ὅθεν καὶ τῆς νίκης
ἔλαβε παρὰ Χριστοῦ τὸν στέφανον.

᾿Ακλινῶς τῷ φόβῳ τοῦ Χριστοῦ,
πάτερ, τειχιζόμενος
10 φόβους ἐχθρῶν ὡς λαίλαπα ἀπέδειξας·
φοβερὸς γὰρ γέγονας
κατ᾿ αὐτῶν καρτερίᾳ ἀσκήσεως
καὶ ταῖς φαντασίαις
ἄσειστος διέμεινας, πανεύφημε.

15 ῾Ρωστικῇ δυνάμει τοῦ Χριστοῦ
τὴν ἐξ ἐπηρείας σοι

---

tit. ῾Ο κανὼν τοῦ ὁσίου Μαρτινιανοῦ φέρων ἀκροστιχίδα τήνδε· Μαρτινιανοῦ τοὺς δρόμους τρέχων ᾄδω Σλ; ῾Ο κανὼν φέρων ἀκροστιχίδα τήνδε· Μαρτινιανοῦ τοὺς δρόμους τρέχων ᾄδω Lm; ῾Ο κανὼν Po; e tropariorum litteris capitalibus, sive theotokiis, cdd. Lm Po acrostichis vero deducitur: Μαρτινι.νου. ου. δρομ. υς τρεχων ᾳδ. Lm; Μαρ.ιν.α.. ο τ.υ. δρομ.υς τ.εχων α.. Po; e theotokiis cdd. Lm Po acr. apparet: Κ.ημεντος
heirm. α΄ EE 34, n. 46, Joannis 8 ᾿Ακλεινῶς Lm Po 10 λαίλαπας Lm λαίλαπι Po 13 φαντασίαις] φωταυγίαις Po

---

15-28 cf. Latyšev, *Menologii*, I, 58-62

5-7 II Tim. 2,3-5

δαιμονικῆς ἐπαναστᾶσαν μάστιγα
ὁμαλῶς παρέδραμες,
τοῦ γυναίου τὴν ἔφοδον, ὅσιε,
20 ἥνπερ διασώσας,
ἔτρωσας ἐν ταύτῃ τὸν ἀρχέκακον.

Τὴν γυναῖκα δέλεαρ γλυκύ,
φάρμακον τιμώμενον,
ὁ ἀρχηγὸς τῆς ἁμαρτίας εὕρατο,
25 πειθανῶς προσέρπουσαν
καὶ δειναῖς ὑποσχέσεσι θέλγουσαν,
ἀλλ᾿ ἐν πέτρᾳ ἔστη
ὁ ὅσιος καὶ προσευχῇ διέσωστο.

θεοτ. Κυοφόρος, ἄνανδρος, ἁγνὴ
30 καὶ παρθενομήτωρ δὲ
ἐν γυναιξὶν ὑπάρχεις ἀδιάφθορος,
ἐν ἁγίῳ πνεύματι
τὸν υἱὸν τοῦ Θεοῦ συλλαβοῦσα γαστρί,
ὃν κατ᾿ εὐδοκίαν
35 τέτοκας ἀσπόρως τοῦ γεννήτορος.

ᾠδὴ γ΄. *᾿Εν πέτρᾳ με τῆς πίστεως*

῾Ιδρῶσι τῆς ἀσκήσεως ἀπεπλύνω
τῶν λόγων τὴν κακίαν ὡς βορβορώδη
καὶ εὗρες καθαρότητι διανοίας
τὰς τρίβους, ὅσιε,
40 τὰς τῶν δικαίων λείους,
f. 54 τὰς ὁδοὺς ‖ φευξάμενος τῆς ἁμαρτίας, σοφέ.

22-28 trop. om. Po 26 θέλγουσα Lm 28 ὁ om. Lm διέσωσται Lm
29-35 θεοτ. om. Σλ
heirm. γ΄ EE 38, n. 51, Cosmae 37 τῶν λόγων] τοῦ μίσους Po ὡς] τὴν Lm 38 καθαρότητος Lm 40 λίους Lm λείας Po

---

17 Hebr. 11,36 23 Na. 3,4 27 Ex. 17,6 39-41 Is. 40,3

Νευρώσας τὴν καρδίαν σου καὶ πυρώσας
τῷ φόβῳ καὶ τῷ πόθῳ τῷ τοῦ κυρίου
τὴν σάρκα σου κατέφλεξας ἑκουσίως
45 πυρὶ ἐνύλῳ, σοφέ,
ταύτῃ προγράφων ἡμῖν
τῆς γεέννης, ὅσιε, τὸ ἀκατάσβεστον πῦρ.

Ἰάματα χαρίτων τοῖς ἀσθενοῦσι
βραβεύειν ἠξιώθης, Χριστοῦ θεράπον,
50 τῶν πόνων σου πρὸς ἄμειψιν ἐπαξίως·
διὸ παράσχου ἡμῖν
τοῖς σὲ τιμῶσι πιστῶς
ταῖς εὐχαῖς σου, ὅσιε, σωφροσύνης μισθόν.

Αἰκίζων σου τὸ σῶμα πυρὶ παμφάγῳ
55 διώκτης ἀνεδείχθης καὶ στεφανίτης
πυκτεύων τὸν ἀντίπαλον καρτερίᾳ,
καθαίρων δὲ λογισμῶν
ῥυτίδα, ὅσιε,
καὶ ἁγνεύων πνεύματι καὶ παρθενεύων σαρκί.

θεοτ. 60 Ἡ σύλληψις ἀπείρανδρος, θεϊκὴ γάρ·
ἡ γέννησις ἀνείκαστος, ὑπὲρ νοῦν γάρ·
Θεὸς δὲ τὸ τικτόμενον ὑπὲρ φύσιν·
ὢ τῆς λοχείας σου!
ὢ τῆς ἁγνείας σου!
65 διὰ σοῦ γὰρ ὤπταί μοι Θεὸς ἐν δούλου μορφῇ.

---

47 ἀκατάσχετον Lm 48-53 trop. om. Po 49 βραβεύων Lm θεράπων Σλ Lm 53 σωφροσύνης καύχημα ταῖς ἱκεσίαις σου Lm 54-59 trop. om. Lm 54 παμφάω Po 60-65 θεοτ. om. Σλ

42-47 cf. LATYŠEV, *o.c.*, 60-61

---

47 Matth. 5.22 57-58 Eph. 5,27 65 Ex. 3,16

ᾠδὴ δ'. *Ἐλήλυθας*
ἐκ παρθένου

Νενέκρωται
τοῦ τυράννου τῆς πλάνης τὸ εὕρημα
καὶ ἧτταν ἠνέγκατο·
δι' ἧς νικᾶν γὰρ ἐπήλπισεν
70 ταύτῃ καταβέβληται
καὶ συμπατεῖται γυναίου
τοῖς ποσὶ κραταιῶς.

Ὀδύρεται
ἡττηθεὶς γυναικὶ ὁ ἀρχέκακος
75 καὶ φεύγει τὴν εἴσπραξιν
ὁ τὰ μεγάλα καυχώμενος·
πέπτωκεν εἰς βόθρον γὰρ
κατὰ τοῦ δούλου κυρίου
ὅνπερ ὤρυξεν.

80 Ὑπομείνας
γενναιότητι γνώμης τὸν κύριον,
τὰς τρίβους κατηύθυνας
καὶ πέτραν ᾤκησας, ὅσιε,

In Lm post odem γ' legimus: Κάθισμα. Ἦχος α'. *Τοῦ λίθου σφραγισθέντος* Ἐν πέτρᾳ εὐσεβείας ... = MR III, 580; idem κάθ. ante canonem praebet Σλ
Po post odem γ' refert: Κάθισμα. Ἦχος δ'. *Ταχὺ προκατάλαβε* Ὁ ὅσιός σου, κύριε, / ἐν τῇ ἀσκήσει αὐτοῦ / ἀγῶνας ἐπεδείξατο ἐν προθυμίᾳ πολλῇ, / Χριστὲ ὁ Θεὸς ἡμῶν· / ἔχων γὰρ τὴν ἰσχύν σου / κατεφρόνει δαιμόνων, / ἔθραυσε διαβόλου / τὸ ἀνίσχυρον θράσος· / διό σε ἱκετεύομεν, / σῶσον τὰς ψυχὰς ἡμῶν. Θεοτοκίον. Παρθένε πανάμωμε, / τὸν ὑπερούσιον Θεὸν ἡ κυήσασα... MR II, 5[illegible]; Σταυροθεοτοκίον. Παρθένε πανάμωμε, / μῆτερ Χριστοῦ τοῦ Θεοῦ, / ῥομφαία διῆλθε σου..., cf. MR III, 331
heirm. δ' EE 34, n. 46, Joannis 66-79 trop. om. Po 67 τοῦ τῆς πλ. τυρ. τὸ εὕρ. Lm 68 ἧτταν γὰρ ἠν. Lm 69 δι' ἧς νικ. προεπήλπιζεν Lm 80 Ὑπέμεινας Lm Po 82 κατεύθυνας Lm Po 83 πέτρας Po

---

80-86 cf. LATYŠEV, *o.c.*, 63-64

77-79 Eccl. 10,8

αἴθριος προκείμενος,
f. 54v 85 ὡς ‖ οὐρανὸν ἐμβατεύων
τὸ νησίδιον.

Τοὺς γενναίους
καὶ ὡραίους σου πόδας, πανεύφημε,
προδραμὼν ἐξέτεινας
90 χώραν ἐκ χώρας ἀμείβοντας·
φεύγων γὰρ ἐκ πόλεως
τῆς τῶν παθῶν, ἀπαθείας
πόλιν ἔφθασας.

θεοτ. Μεμύηται
95 ἡ γαστήρ σου, Μαρία θεόνυμφε·
Θεὸς γὰρ ὁ ἄναρχος ὤφθη
ἐκ σοῦ προεχρόμενος,
οὗ ἐνανθρωπήσαντος,
τῆς ἐμφερείας τὸ εἶδος
100 ἀσπαζόμεθα.

ᾠδὴ ε΄. *Ὁ τοῦ φωτὸς χορηγός*

Οὐ βυθισθεὶς τὴν ψυχὴν
ταῖς φαντασίαις τοῦ ἐχθροῦ, ὅσιε,
ἐν τῷ βυθῷ
τῶν θείων σου πόνων
105 ἀπέπνιξας στερρῶς

87-93 trop. om. Lm   87-88 vv. in Σλ in margine scripti sunt   89 προδραμὼν] πρὸς δρόμον Po   93 πόλιν] πόαις Po   94-95 Μεμένηκας / μετὰ τόκον παρθένος πανύμνητε Po   94-100 θεοτ. deest in Σλ   99 ἐμφανείας Po

heirm. ε΄ EE 38, n. 51, Cosmae   101-107 trop. om. Po

87-93 cf. Latyšev, *o.c.*, 65

---

88 Rom. 10,15

τὸν σὲ ἐν θαλάσσῃ
ποντίσαι πειρώμενον.

Ὕλην εὑρὼν ἀρετῆς
τὴν μεθοδείαν τοῦ ἐχθροῦ, ὅσιε,
110 ὤφθης καὶ νῦν
ζωῆς μὲν προστάτης,
ψυχῆς δὲ ὁδηγὸς
τῆς βυθιζομένης
δεινῶς ἐν τῷ κλύδωνι.

115 Σύ, ὡς τῷ Πέτρῳ Χριστός,
χεῖρας ἐκτείνας συμπαθῶς, σέσωκας
κόρην ποτὲ
βυθοῦ ἐκ θαλάσσης
καὶ ἔδειξας αὐτὴν
120 διάδοχον ὄντως
τῶν θείων ἀγώνων σου.

Δῶρον Θεοῦ ὡς λαβὼν
τῶν προσευχῶν σου τὴν ἰσχύν, ἅπαντα
ἐπιτελεῖς,
125 σοφέ, παραδόξως
καὶ σῴζεις ἐκ βυθοῦ
καὶ βλάβης λυτροῦσαι
τῶν παθῶν τὰς ψυχὰς ἡμῶν.

θεοτ. Ἐν δύο φύσεσιν
130 καὶ ὑποστάσει ἐν μιᾷ πέφηνας
τέλειος ὢν
βροτὸς ἀσυγχύτως·

---

107 ποντόσαι Lm   108 Ὕλην] Πύλην Po   109 μεθοδίαν cdd.   113 τῇ βυθιζομένῃ Σλ Lm   115-121 trop. desideratur in Lm Po   115 Σοὶ Σλ   123 ἅπασαν Po   127 βλάβης] λάβης Lm   ζάλης Po   129-135 θεοτ. deest in Σλ

106-107 cf. Latyšev, *o.c.*, 64
108-114 cf. Latyšev, *o.c.*, 64-65

τροπὴν γὰρ ἢ φυρμὸν
οὐ πέπονθας, Λόγε,
135 σαρκούμενος, κύριε.

ᾠδὴ ς'. *Πρὸς κύριον*
ἐκ κήτους

Ῥώμῃ Θεοῦ
ἐρείσας τὴν σὴν ψυχήν, πανεύφημε,
ὅλως οὐκ ἔδεισας,
τῇ ἐλπίδι τειχιζόμενος,
140 τὸν ἄπλετον βυθὸν
σοφῶς διανήξασθαι,
ἀλλ' ἐσώθης δελφῖσιν ὀχούμενος.

Ὁ βίος σου
ἀγγέλους ὡς ἀληθῶς κατέπληξεν,
145 δαίμονας ᾔσχυνεν
f. 55 οὐρανούς τε κατεφώ‖τισεν
καὶ γύναια πιστῶς
σοφῶς διεσώσατο
καὶ εἰς τρίβον ἀσκήσεως εἵλκυσεν.

150 Μιμητής σου
τῶν πόνων καὶ τῶν σεπτῶν ἀγώνων, σοφέ,
ἡ σὴ διάδοχος
ἐπαξίως ὄντως γέγονε
καὶ ἦρε κατ' ἐχθρῶν
155 σωφροσύνης τρόπαιον,
ἐγκρατείᾳ τὸν δράκοντα κτείνασα.

---

heirm. ς' EE 39, n. 53, Cosmae   136 Θεοῦ] θεία Lm   138 ἐδειλίασας Po   146 οὐρανούς τε] καὶ ἀνθρώπους Lm Po   148 σοφῶς] μάλα Po   153 ὄντως] πάτερ Lm Po

---

142 cf. LATYŠEV, *o.c.*, 65
149 cf. LATYŠEV, *o.c.*, 62, 66-67

---

156 Apoc. 12,3-4

Οὐκ ὤκλασας
τὸν δρόμον τὸν εὐκλεῆ, ἀοίδιμε,
ὡς ἀκλινέστατος·
160 μαθητὴς Χριστοῦ κατήντησας
ἀκτήμων καὶ γυμνὸς
καὶ ἀπερινόητος
πρὸς θείαν ἀκρόπολιν ὄλβιος.

θεοτ. Νόμοι ἐν σοὶ
165 ἠσθένησαν ἀληθῶς τῆς φύσεως,
παρθένε ἄχραντε·
παρθενεύεις γὰρ κυήσασα
τὸν σύνθρονον πατρὶ
καὶ ἁγίῳ πνεύματι
170 Λόγον, ὄντα Θεὸν καὶ ἄνθρωπον.

ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

«Ὑλώδους ζωῆς
διαστήσας ἑαυτόν,
μονάζων φεῦγε στερρῶς
τὰς πόλεις πάσας καὶ ἐν ὄρεσιν
175 ἐμφιλοχώρει ὡς ἄξιος·»
Μαρτινιανὸς γὰρ διδάσκει
ἀπερισπάστως τοῦ ψάλλειν σοι·
«εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν».

157-163 trop. desideratur in Lm Po   164-170 θεοτ. om. Σλ
In Lm Po post odem ς' legimus: Κοντάκιον. Ἦχος β'. Τοὺς ἀσφαλεῖς Ὡς ἀσκητὴν τῆς εὐσεβείας δόκιμον ... Ὁ οἶκος. Ἀπὸ περάτων ἕως περάτων ... = MR III, 582; eadem om. Σλ; in Lm post οἶκ. invenies: Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρτινιανοῦ. Οὗτος γέγονεν ἀπὸ Καισαρείας τῆς κατὰ Παλαιστίνην ..., cf. Synaxarium ante canonem missum
heirm. ζ' EE 39, n. 53, Cosmae   172 σεαυτὸν Lm   177 τὸ ψάλλειν σοι Po   σοι] σε Lm   178 cdd. varie contrahunt orationem

---

164-165 Rom. 8,3

Συντόνῳ σκυλμῷ
180 Παύλου πέφυκας, σοφέ,
ὁδοιπορίας εἰκών,
πόθῳ διώκων ὃν κατέλαβες
τῷ τῆς ἀσκήσεως δρόμῳ σου·
ὅθεν καὶ ὡς ξένος τοῦ κόσμου
185 ἐγνωρίσθης, πανεύφημε,
τῷ βασιλεῖ τῶν οὐρανῶν καὶ ἐδοξάσθης πιστῶς.

Τὸν δρόμον πληρῶν
τῆς ἀσκήσεως αὐτοῦ
ὁ μαθητὴς τοῦ Χριστοῦ,
190 πνεύματι θείῳ προαισθόμενος
τὴν ἐκδημίαν τοῦ σώματος,
ἔψαλλε ψυχῇ ἀδιστάκτῳ·
« ὡς εἰς χεῖράς σου, δέσποτα,
τὸ πνεῦμά μου καὶ τὴν ψυχὴν νῦν παρατίθημι ».

f. 55v 195 ‖ Ῥωννύει ψυχὰς
καὶ διώκει τῶν παθῶν
τὰς δυσιάτους φθορὰς
ἡ θεία χάρις τῶν λειψάνων σου
καὶ τῶν δαιμόνων τὰς φάλαγγας
200 φόβῳ συνταράττουσα τρέπει,
μοναζόντων τὸ καύχημα,
ἀλλ' ὑπερεύχου καὶ ἡμῶν νῦν πρὸς τὸν κύριον.

θεοτ. Τὸ ὕδωρ τὸ ζῶν
ἀνεπάφου ἐκ πηγῆς,
205 Χριστός, ἀνέβλυσεν

---

179 σκυλμῷ] κλαυθμῷ Lm 181 ὁδοιπορείας (sic) Σλ 190 προεστώμενος Lm 195-202 trop. om. Po 203-210 θεοτ. om. Σλ

187-194 cf. Latyšev, *o.c.*, 65-66

---

184 Hebr. 11, 13-16 193-194 Luc. 23,46 203 Joh. 4,10

τῆς σῆς ἁγίας, ὑπερένδοξε,
νηδύος, μόνη ἀσύγχυτος,
πᾶσιν ἀφθαρσίαν ποτίσας
τοῖς ἐν πίστει κραυγάζουσιν·
210 « εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ἐκδυσαμένη αἰσθητῶς
τῆς σαρκὸς τὸ ἀσθενὲς τῷ ἱματίῳ
καὶ ἀνδρείας λαβοῦσα
στολὴν καὶ φρόνησιν
215 ἡ κόρη
ἐβόα νηστεύουσα·
« σὲ ὑπερυψοῦμεν, Χριστέ, εἰς πάντας τοὺς αἰῶνας ».

Χαίρει προθύμως, ἀληθῶς,
ἐν τῇ πέτρᾳ τοῦ Χριστοῦ ἐρειδομένη
220 καὶ νηστείᾳ καὶ πίστει
ἐνασκουμένη στερρῶς
ἡ κόρη
βοῶσα ἐν ᾄσμασιν·
« σὲ ὑπερυψοῦμεν, Χριστέ, εἰς πάντας τοὺς αἰῶνας ».

225 Ὡς μετανάστης τῶν φθαρτῶν
καὶ τῆς ἄνω ἀφθαρσίας κληρονόμος
γεγονώς, θεοφόρε,
καὶ θεῖον δρόμον δραμών,

---

207 μόνη] μεῖνας Po 210 post εὐλογητὸς cetera om. Lm; εὐλογημένη ἡ θεὸν σαρκὶ τεκοῦσα Po heirm. η' EE 35, n. 47, Joannis 217 σὲ ὑπερυψῶ Ἰησοῦ εἰς πάντας τοὺς αἰῶνας Po, post ὑπερυψοῦμεν cetera om. Σλ 224, 231 σὲ ὑπερυψῶ Ἰησοῦ εἰς πάντας τοὺς αἰῶνας Po

---

211-217 cf. Latyšev, *o.c.*, 61-62, 66-67

---

212 Matth. 26,41

τὸ στέφος
230 ἐβόας δεξάμενος.
« σὲ ὑπερυψοῦμεν, Χριστέ, εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Ὁ καταβὰς ἐξ οὐρανῶν
διὰ σπλάγχνα οἰκτιρμῶν, Θεὲ τῶν ὅλων,
καὶ τεχθεὶς ἐκ παρθένου
235 σῶσον τοὺς ψάλλοντας·
« ὑμνεῖτε,
τὰ ἔργα, τὸν κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Τί τὸ περὶ σὲ μέγα*
καὶ σεβάσμιον μυστήριον,
ἡ τοῦ Ἀδὰμ θυγάτηρ
καὶ τοῦ ὑψίστου μήτηρ,
5 *ἡ μόνη πρὸς Θεὸν*
ἀπλανὴς τῶν βροτῶν γέφυρα;
σὲ ἀσιγήτοις ὕμνοις
οἱ πιστοί, θεοτόκε,
μεγαλύνομεν.

Νόμους ὑπερβάς, πάτερ,
240 τῆς ἀσκήσεως διέπρεψας
ἐν ἐγκρατείᾳ πάσῃ
καὶ προσευχῇ ἀγρύπνῳ
νηστείᾳ τε ὁμοῦ
καὶ ἁγνείᾳ καὶ σεμνότητι·
245 ὅθεν ὡς στεφανίτην
ἐπὶ τέλει τῶν ἄθλων
f. 56 σὲ κη‖ρύττει Χριστός.

---

231 post ὑπερυψοῦμεν cetera om. Σλ   232-238 θεοτ. om. Σλ   235 ψάλλοντας] κράζοντας Lm   238 v. om. Lm
heirm. θ' EE 38, n. 51, Cosmae   6 βροτῶν] πιστῶν EE Po
241 πάσι Lm   243 τὲ Σλ Lm

242-243 Matth. 17,21

Ἄξιος Θεῷ ὤφθης
ὡς καλῶς ἀγωνισάμενος·
250 πάντα γὰρ ὡς χόρτον ῥίψας
κοῦφος διέπλεις, πάτερ,
τὸ μέγα καὶ βαρὺ
τὸ τοῦ βίου τούτου πέλαγος
καὶ εἰσήχθης εἰς λιμένα,
255 εὐσταλῶς διανύσας
τὸν σὸν δρόμον, σοφέ.

Δόξαν ἀληθῶς εὗρες
τὴν οὐράνιον, μακάριε,
ὡς ἀδοξήσας ἔνθεν
260 καὶ ταπεινώσας πάντα
τὸν ὄγκον τῆς σαρκός,
ἐν τῷ ὕψει τῶν ἀγώνων σου,
ἀλλ' ὡς Χριστοῦ θεράπων
ὑπερεύχου τῶν πίστει
265 εὐφημούντων σε.

Ὢ τῆς θαυμαστῆς, πάτερ,
καὶ σεμνῆς σου πολιτείας, σοφέ!
ὅτι διαμόνων πλάνην
καὶ πειρασμοὺς ἀνθρώπων
270 ὑπομείνας στερρῶς
καὶ θανάτου κατεφρόνησας·
ὅθεν καὶ νῦν πρεσβεύεις
τοῦ σωθῆναι ἐκ πλάνης
τοὺς τιμῶντάς σε.

θεοτ. 275 Σὺ εἶ ἀληθῶς, μόνη
ἀειπάρθενε, χριστιανῶν εὐθύτης,
ἁμαρτωλῶν προστάτης,
ἀδικουμένων σκέπη·

---

250 ὡς χόρτον] φόρτον Lm Po   ὡς supra lineam in Σλ   251 κούφως Po   254 ἤχθης Lm Po   256 τὴν πορείαν σου Lm   257-265 trop. om. Po   259 ἀδοξίας Lm   263 ἀλλ' ὦ χρ. θεράπον Lm   266-274 trop. desideratur in Lm Po   275-283 θεοτ. om. Σλ

ἐκ σοῦ γὰρ ἀληθῶς
280 ἀνατέταλκεν ἡ λύτρωσις,
μεθ' οὗ σε καταχρέως
μεγαλύνων ἐν πίστει,
τὴν ᾠδὴν ἐκπληρῶ.

283 ἐκπληρῶν Lm

IN SANCTUM THEODORUM TIRONEM

Synaxarium, 469: Οὗτος ὁ ἅγιος μάρτυς κατὰ τοὺς χρόνους ἦν Μαξιμιανοῦ τοῦ Γαλλερίου καὶ Μαξιμίνου τῶν βασιλέων, ὁρμώμενος ἐκ τῆς μητροπόλεως Ἀμασείας ἐκ χωρίου καλουμένου Χουμιάλων. Ἄρτι δὲ τῇ στρατείᾳ τῶν τηρώνων καταλεγεὶς καὶ ὑπὸ τὴν τάξιν τοῦ πραιποσίτου Βρίγκα τυγχάνων, παρ' αὐτοῦ εἰς ἐξέτασιν κατέστη, τὸν Χριστὸν Θεὸν εἶναι ὁμολογήσας καὶ τὰ σεβάσματα τῶν ἑλλήνων ὡς ἄψυχα ξόανα καὶ ἔργα χειρῶν ἀνθρώπων καταχλευάσας. Καιροῦ δὲ δοθέντος αὐτῷ πρὸς σκέψιν, οὐκ ἐν ἀπροσεξίᾳ τοῦτον, ἀλλὰ τὴν μεγίστην τῶν πραγματειῶν ἐτέλεσεν ἐν αὐτῷ. Τὸ γὰρ εἴδωλον τῆς τῶν θεῶν μητρός, ὡς ἕλληνες ληρωδοῦσιν, αὐτῷ ναῷ συγκατέφλεξεν· ὅθεν συσχεθεὶς καὶ αὐτουργὸς γενέσθαι ὁμολογήσας τοῦ ἐμπρησμοῦ, πρῶτον μὲν κρεμασθεὶς ξέεται, ἔπειτα δὲ καὶ εἰς κάμινον πυρὸς ἐμβληθεὶς τελειοῦται. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις τῷ σαββάτῳ τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν, ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ ἐν τοῖς Σφωρακίου.

Crypt. Δ.α. VI = Cz, pp. 157-162
Vat. gr. 2008 = Vm, ff. 62-63
Reg. gr. 54 = Lm, ff. 59ᵛ-61
Barber. gr. 543 = Bb, ff. 226-228ᵛ

Μηνὶ τῷ αὐτῷ ιζ'. Τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ Τήρωνος... Ὁ κανὼν φέρων ἀκροστιχίδα· Θεοῦ σε μέλπω δωρεῶν ἐπώνυμε· inc. Θεοῦ σε, Θεόδωρε, ἐραστὴν (pp. 151-157 = TR, 206-209); post hunc canonem legimus: Τῇ ἑσπέρᾳ κανὼν παρακλητικὸς τοῦ ἁγίου μάρτυρος Θεοδώρου φέρων ἀκροστιχίδα· Σῶν δωρεῶν, ἔνδοξε ... Cz; Μηνὶ Φεβρουαρίῳ ιζ'. Τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος καὶ τῆς ἁγίας Μαριάμνης ἀδελφῆς τοῦ ἁγίου Φιλίππου τοῦ ἀποστόλου... Ὁ κανὼν φέρων ἀκροστιχίδα· Σῶν δωρεῶν, ἔνδοξε ... (ff. 61ᵛ-63), post quem sequitur: Τῇ αὐτῇ ἡμέρᾳ κανὼν τῆς ἁγίας Μαριάμνης φέρων ἀκροστιχίδα· Μέλπω γεγηθὼς τὴν Μαριάμνης χάριν. Ἰωσήφ, inc. Μόνε χορηγὲ τῶν ἀγαθῶν (ff. 63-64, cf. canonem s. Mariamnae) Vm; Μηνὶ τῷ αὐτῷ η'. Τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Στρατηλάτου καὶ τοῦ ἁγίου προφήτου Ζαχαρίου... Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Σῶν δωρεῶν, ἔνδοξε ... (post odem γ' cuius habeas: Τοῦ προφήτου, inc. Ἔχων τὸν φωτοδότην ..., cf. MR III, 537) Lm; Μηνὶ τῷ αὐτῷ ιζ'. Τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος ... Ὁ κανὼν φέρων ἀκροστιχίδα· Σῶν δωρεῶν, ἔνδοξε ... Bb; auctoris nomen om. cdd.

Τῇ ἑσπέρᾳ κανὼν παρακλητικὸς φέρων ἀκροστιχίδα·
Σῶν δωρεῶν, ἔνδοξε, πλοῦτόν μοι δίδου.

Ἦχος β΄.

ᾠδὴ α΄. *Ἐν βυθῷ κατέστρωσε ποτὲ*

Στεφανῖτα μάρτυς τοῦ Χριστοῦ,
ἔνδοξε Θεόδωρε,
τῶν θεϊκῶν δωρεῶν ὡς ἐπώνυμος,
δωρεαῖς με φαίδρυνον
p. 158 5 || ταῖς προσούσαις σοι ἐκ πηγῆς πλουτοδότιδος
τοὺς τῆς ἁμαρτίας
βρόχους διαλύων ταῖς πρεσβείαις σου.

Ὡς κριὸς ἐπίσημος ἀχθείς,
θῦμα εὐωδέστατον
10 σὺ τῷ Χριστῷ προσηνέχθης, Θεόδωρε,
νῦν δὲ φύλαξ πέφηνας
ἀγρυπνότατος καὶ προστάτης θερμότατος
τῶν ὀδυνωμένων
καὶ τῶν θλιβομένων, παμμακάριστε.

15 Ναὸς ζῶν καὶ ἔμψυχος Θεοῦ
ὤφθης καὶ θεόφρονι
ζήλῳ, σοφέ, πυρπολούμενος ἔφλεξας
τὸ τῆς πλάνης τέμενος,
τὴν κατέχουσαν ἀφανίζων ἀσέβειαν,

---

heirm. α΄ EE 34, n. 46, Joannis 7 διαλύσας βρόχους μου πρεσβείαις σου Lm διαλύσεως Bb ταῖς] σαῖς Bb 10 σὺ τῷ Χριστῷ] σοὶ τὸ τοῦ χριστοῦ Bb 18 τὸν Bb 19 ἀσέβειαν] δυσσέβειαν Lm

---

8-9 cf. DELEHAYE, *Les légendes*, (I) 133^{14-21}; (II) 145^{14-24}.
17-18 cf. DELEHAYE, *o.c.*, (I) 129^{6-22}; (II) 140-141; (V) 191^{18-24}; LATYŠEV, *Menologii*, I, (b) 88^{16-19}

---

7 I Cor. 7,35 8-9 Gen. 22,13 15 I Cor. 3,16

20 νῦν δὲ καταπαύοις
τὸ τῶν πειρασμῶν πῦρ, ἀξιάγαστε.

θεοτ. Διὰ σοῦ, πανάμωμε, φθορᾶς
ἅπασαν κατήφειαν
καὶ τὸ θνητὸν ὁ θνητὸς ἐξετίναξα,
25 τῆς ἀθανασίας δὲ
περιβέβλημαι τὸ φαιδρὸν περιβόλαιον·
ὅθεν ὡς ζωῆς μου
ἀϊδίου πρόξενον δοξάζω σε.

ᾠδὴ γ΄. *Ἐξήνθησεν ἡ ἔρημος ὡσεὶ κρίνον*

Ὡς μάρτυρα πανάριστον παρρησίαν
30 ἔχοντα
πρὸς τὸν Χριστὸν προβάλλομαι
σὲ προστάτην τῆς σωτηρίας μου,
ἀλλά με μὴ παρίδῃς, πανσεβάσμιε.

Ῥημάτων μου ἐπάκουσον, δέομαί σου,
35 σῶσόν με
ἐκ πειρασμοῦ, Θεόδωρε,
καὶ κινδύνων καὶ περιστάσεων
καὶ νόσων καὶ πταισμάτων, παναοίδιμε.

Ἐνέπρησας, ὡς πρότερον τὸ τῆς πλάνης
40 εἴδωλον,
τὰ τῆς ψυχῆς μου εἴδωλα,

---

20 καταπαύεις Lm καταπαύῃς Bb 22-28 Bb hoc θεοτ. praebet: Διὰ σοῦ, πανάμωμε σεμνή, / πάλαι οἱ κατάκριτοι / εὐλογιῶν, θεουργιῶν ἀπελαύσαμεν (ἀπολαύσωμεν cd.), / νῦν δὲ δυσωπήθητι, / θεομῆτορ, καὶ ῥῦσαι τοὺς δούλους σου / τῶν ἐπικειμένων / θλίψεων, δεινῶν τῇ μεσιτείᾳ σου 23 πᾶσαν τὴν κατήφιαν Lm 26 φαιδρὸν] θερμὸν Vm Bd 27 μοι Lm 28 πρόξενον τῆς [illegible] νοῦν ὑμνήσω [illegible] Lm
heirm. γ΄ EE 34, n. 46, Joannis 33 ἀλλὰ μή με Lm Bb 38 νόσου Bb

---

39-40 cf. testimonia vv. 17-18

---

23 Jac. ep. 4,9 24-26 I Cor. 15,53-54 29-31 Philem. 8

καὶ τοὺς τύπους τῆς ἁμαρτίας μου
ἐξαφάνισον, μάκαρ, θείᾳ χάριτι.

θεοτ. Ὡς ἄνθος εὐωδέστατον καὶ ὡς κρίνον,
45 πάναγνε,
p. 159 τῶν ‖ ἀκανθῶν ἐν μέσῳ σε
ὁ νυμφίος εὑρὼν ἐσκήνωσε
καὶ πηγὴν χαρισμάτων σὲ κατέστησεν.

ᾠδὴ δ'. *Ἐλήλυθας ἐκ παρθένου*

Νεκρώσεως
50 δερματίνους χιτῶνας ἀπέξεσας
διὰ τῆς ἀθλήσεως
καὶ μαρτυρίου σου, πάνσοφε,
νῦν δὲ τὸν σωτήριον
τῆς σωφροσύνης χιτῶνα
55 περιβέβλησαι.

Ἐπίφανον
οὐρανόθεν, παμμάκαρ Θεόδωρε,

Νικώμεναι
ὑπὸ σοῦ τῶν δαιμόνων αἱ φάλαγγες
65 σαφῶς δραπετεύουσι
καὶ τῶν νοσούντων, Θεόδωρε,
πάθη φυγαδεύονται
τῇ ἐπικλήσει σου μόνῃ,
μάρτυς ἔνδοξε.

θεοτ. 70 Διάρρηξον
τῶν δεινῶν μου πταισμάτων χιτώνιον
τῇ λόγχῃ, πανάμωμε,
τῇ κεντησάσῃ τὸ ἄχραντον
σῶμα καὶ πανάγιον
75 τοῦ ἀπορρήτως τεχθέντος
ἐκ σοῦ, πάναγνε.

ᾠδὴ ε'. *Ὁ φωτισμὸς τῶν ἐν σκότει*

Ὀλοθρευτὴς
τῆς ἀπάτης πρὶν ὤφθης
τῇ πανευχίᾳ

διάσωσον
νους σε, ἔνδοξε,
χύτητα
αλίζων,
ε.

τ. tradit: Ὡς χάριν εὑραμένη (lege εὑραμένην), χαρὰν / πάναγνε, / χαρᾶς ἀλήκτου πλήρωσον / τὰς καρδίας τῶν ν λυπουμένων ἡ παράκλησις 48 χαρισμάτων] ἀφθαρ-

refert: Κάθισμα. Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ ⟨σταυρῷ⟩* ς ὡραϊσμένος / τῷ βασιλεῖ τῶν οὐρανῶν, χαίρων, μάρτυς, / Θεόδωρε· / τῷ σταυρῷ ἀνηρτήθης, / δι' αὐτὸν καὶ τοῖς ὄνυξιν / καὶ ὀμμάτων τὰς κόρας / ἀνασπασθείς, ὑπήνεγκας / τιμῶμεν, παμμέγιστε. Bb diversum κάθ. exhibet, ίαν ἀναλαβὼν = MR III, 538
. 46, Joannis 50 ἀπέξυσας Lm ἐπεύξησας Bb
Bb 54 εὐφροσύνης Vm Lm Bb 60 ταχύτητα Lm
ταῖς δεήσεσιν Lm σαῖς δεήσεσιν Bb

50 Gen. 3,21 54 Is. 61,10

80 περιπεφραγμένος τῇ τοῦ σωτῆρος,
νῦν δέ, θεόφρον,
λυτρωτὴς καὶ προστάτης
χρηματίζεις τῶν εὐφημούντων σε,
μάρτυς ἀθλοφόρε Χριστοῦ πανσεβάσμιε.

85 Ξενοπρεπῶς
ὡς παστάδα τὴν φλόγα,
μάρτυς, ὑπῆλθες,
ζήλῳ, ἀθλοφόρε, πεπυρσευμένος,
ἀλλ' ὡς ἐκείνην

71 χιτώνιον] χειρόγραφον Lm Bb 74 πανάμωμον Bb 76 πάναγνε] δέσποινα Vm Lm Bb
heirm. ε' EE 34, n. 46, Joannis 84 ἀθλοφόρε] θεοφόρε Bb, παμμακάριστε Vm Lm ἀξιάγαστε Bb 87 ἀπῆλθες Bb 88 ἀθλ.] θεοφόρε Bb πεπυρσευμένος om. Lm

72-76 Joh. 19,34 79 IV Mac. 3,12

καὶ πάντας
προσκαλουμέ
60 βίου τὴν τρα
τούτοις ἔξομ
παμμακάριστ

44-48 Bb hoc θεο
τεκοῦσα (lege τεκοῦσαν),
δεομένων σου· / σὺ γὰρ τῶ
σίας Lm σε Vm
Post odem γ' Lm
Μαρτυρικαῖς ταῖς καλλοναῖ
στεφηφορῶν παρίστασαι, Θ
ἥλοις, / βουνεύροις τε καὶ
στερρῶς· / ὅθεν σε πίστε
quod inc. Θεϊκὴν πανευχ
heirm. δ' EE 34, n
52 σε Lm 53 τὸ Lm
62 μάρτυς ἔνδοξε Vm

44-46 Cant. 2,1-12

90 κατεπάτησας τότε
τοὺς χειμάρρους τῆς ἁμαρτίας μου
παῦσον ταῖς πρεσβείαις σου, μάρτυς Θεόδωρε.

Ἐπὶ σφαγὴν
ὡς ἀμώμητον θῦμα
. 160 95 ἔθε||λουσίως
εἰσήχθης μιμούμενος τὸν δεσπότην,
οὗ καὶ τῆς δόξης
κοινωνὸς χρηματίζων,
φρούρησόν με τῆς σῆς δεόμενον
100 σκέπης, ἀθλοφόρε Χριστοῦ παμμακάριστε.

θεοτ. Πύλη φωτὸς
ἀνεδείχθης, παρθένε,
τοῖς ἐν τῷ σκότει
ἥλιον τεκοῦσα δικαιοσύνης,
105 θεογνωσίας
ἀνατέλλοντα φέγγος
καὶ τὸν ζόφον ἀποδιώκοντα
τῆς πολυθεΐας καὶ τῆς ἀθεότητος.

ᾠδὴ ς'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Λογισμοὺς καθελὼν καὶ πᾶν ὕψωμα
110 κατὰ τοῦ σωτῆρος, σοφέ, ἐπαιρόμενον
ὤφθης ψυχῆς στερρότητι
καὶ φρονήματι θείῳ ῥωννύμενος.

---

91 ἁμαρτίας] ἀνομίας Lm Bb 92 μάρτυς Θεόδωρε] νῦν παμμακάριστε Lm Bb 96 ἤχθης Lm Bb μιμησάμενος Lm Bb 100 παναοίδιμε Lm Bb 101-108 Bb hoc θεοτ. praebet: Πᾶσαν εἰς σὲ / τὴν ἐλπίδα μου πίστει / προσανεθέμην, / δέσποινα τοῦ κόσμου, ἁγνὴ παρθένε· / σκέπη γενοῦ μοι / καὶ λιμὴν καὶ προστάτης· / λύτρωσαί με τῶν περιστάσεων· / σὺ γὰρ τεθλιμμένων ἀεὶ ἡ παράκλησις.
heirm. ς' EE 34, n. 46, Joannis 109 Λογισμῶν ἐκκαθάρας π. ὕ. Bb καθελὼν] καθαίρων Lm 110 κατὰ] καὶ τὰ Bb σοφὲ] μάκαρ Lm Bb

---

93-96 cf. DELEHAYE, *o.c.*, (III) 166-167; (IV) 182; [VAN HOOFF], *Acta s. Theodori*, Anal. Boll. 2 (1883), 367; LATYŠEV, *o.c.*, (a) 35[26-28]

93-96 Is. 53,7; Act. 8,32 104 Mal. 4,20

Ὁ λαμπρύνας ἐν κόσμῳ τὴν μνήμην σου
οὗτος, ὑπὸ σοῦ, θεόφρον, δυσωπούμενος,
115 τοὺς σὲ τιμῶντας ῥύεται
χαλεπῶν ἐκ κινδύνων ὡς εὔσπλαγχνος.

Ὑπὸ θείας κινούμενος χάριτος,
μάρτυς, τὸ τῆς πλάνης καθεῖλες ὀχύρωμα,
ἀλλὰ καὶ νῦν, μακάριε,
120 τῶν παθῶν μου τὸ θράσος κατάβαλε.

θεοτ. Τὴν τῆς Εὔας κατάραν μετέβαλες,
μῆτερ ἀειπάρθενε, τῷ ξένῳ τόκῳ σου
πρὸς εὐλογίαν ἔνθεον
καὶ τὸν κόσμον ἐφαίδρυνας χάριτι.

ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

125 Ὁ μόνος εἰδὼς
τὰ ἐγκάρδια Χριστὸς
σὲ ἐξελέξατο
τῆς αὐτοῦ δόξης
πιστὸν μάρτυρα
130 καὶ καθηρέτην ἀνέδειξε
τῆς εἰδωλικῆς παροινίας
καὶ φρουρὸν τοῖς κραυγάζουσιν·

---

113 Ὁ λαμπρύνας] Ἐλαμπρύνας Lm 118-119 καθεῖλες ὀχύρωμα / ἀλλὰ καὶ νῦν, μακάριε om. Bb 120 μου om. Lm 121-124 Bb diversum θεοτ. tradit, quod inc. Τὰς αἰτήσεις ἡμῶν, ἀπειρόγαμε = ETh 239
Post odem ς', in margine f. 160 cd. Cz, legitur: Ζήτει κονδάκιον εἰς τὴν ζ'. Lm vero tradit: Κονδάκιον. Ἦχος β'. *Τὰ ἄνω ζητῶν* Ἀνδρείᾳ ψυχῆς τὴν πίστιν ὁπλισάμενος ... Ὁ οἶκος. Τῶν ἀθλητῶν τὸ ἔκλαμπρον κάλλος ... MR. III, 542; sequitur: Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ στρατηλάτου. Οὗτος ὁ μάρτυς κατὰ τοὺς χρόνους ἦν Λικινίου τοῦ βασιλέως ..., cfr. Synax. Eccl. CP., 451; Bb autem exhibet: Κονδάκιον. Ἦχος δ'. *Ὁ ὑψωθεὶς* Θεοδωρήτως εἰληφὼς θείαν χάριν ... Ὁ οἶκος. Ὠιδήν σοι προσάγομεν, σοφὲ ... AK, 141, cf. atque PAS, I, 581, TRM, III, ρνγ'
heirm. ζ' EE 39, n. 53, Cosmae 130 καθαιρέτην Lm Bb

---

118 Prov. 21,22 121-124 Deut. 23,6 125-126 Luc. 9,47

« εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

135 Νομίμως ἀθλῶν
εὐηρέστησας Θεῷ,
μάκαρ Θεόδωρε·
p. 161 || ὅθεν ἐδόθης
ἀκαθαίρετος
140 τῇ Ἐκκλησίᾳ, θεσπέσιε,
πύργος καὶ ἀκράδαντον τεῖχος
τοῖς ἐν πίστει κραυγάζουσιν·
« εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

145 Μαρτύρων Χριστοῦ
ἐγκαλλώπισμα φαιδρὸν
καὶ σεμνολόγημα,
μάρτυς, ὑπάρχεις
καὶ θεόσδοτον δῶρον
150 ἐφάνης, φερώνυμε,
χάριτι κοσμούμενος θείᾳ
καὶ φυλάττων τοὺς ψάλλοντας·
« εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. 155 Ὁ ὢν ἐν ἀρχῇ
ὡς υἱὸς μονογενὴς
πρὸς τὸν γεννήτορα
ἐκ τῆς παρθένου
σὰρξ ἐγένετο
160 καὶ ἐν ἡμῖν κατεσκήνωσεν·
ὅθεν τὴν ἀφράστως τεκοῦσαν

133-134, 143-144, 153-154, 163-164 cdd. varie contrahunt orationem versum 135 in loco v. 145 praebet cd. Bb 140 τῆς ἐκκλησίας Bb 141 ἀκράδαντος Bb versum 145 in loco v. 135 in Bb habeas 150 φερώνυμον Lm Bb 151 κοσμούμενον Lm 152 φυλάττον Lm

135 II Tim. 2,5 136 Hebr. 11,5-6 141 Cant. 8,10

ἀνυμνοῦντες κραυγάζομεν·
« εὐλογημένος ὁ καρπὸς
ὁ τῆς κοιλίας σου ».

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

165 Ἱερουργίᾳ μυστικῇ
τῷ δεσπότῃ σεαυτὸν
θυσίαν ζῶσαν
προσενήνοχας θέλων,
ὃν παρρησίᾳ πολλῇ
170 μὴ παύσῃ
εἰρήνην αἰτούμενος
τοῖς ὑπερυψοῦσιν
αὐτόν, μάρτυς θεόφρον.

Δυναμωθεὶς τῇ κραταιᾷ
175 τοῦ ὑψίστου δεξιᾷ
δυνατὸς ὤφθης
καρτερίᾳ βασάνων
τυραννικὴν καθελὼν
μανίαν,
180 παμμάκαρ Θεόδωρε·
ὅθεν σε ὑμνοῦμεν
ἀεί, μάρτυς θεόφρον.

θεοτ. Ἴσος ὑπάρχων τῷ πατρὶ
κατ'οὐσίαν ὁ υἱός,
185 ἴσος ἐφάνη

162 ἀνυμνήσωμεν λέγοντες Bb κραυγάζωμεν Vm 163-164 εὐλογητὸς Lm, εὐλογημένη ἡ θεὸν / σαρκὶ κυήσασα Bb
heirm. η' EE 35, n. 47, Joannis 165 Ἱερουργοῦσα Bb 169 πολλῇ] τῇ σῇ Lm Bb 173 αὐτὸν εἰς τοὺς αἰῶνας Vm Bb, v. om Lm 179 μανίας Bb 182 εἰς πάντας τοὺς αἰῶνας Bb, v. om. Lm 185 ἴσος προῆλθεν Lm

176-177 cf. DELEHAYE, *o.c.*, (III) 161-162

167 Rom. 12,1 174-175 Ps. 117,15

τοῖς ἀνθρώποις ἀφράστως
ἐξ ἀπειράνδρου μητρός,
παρθένον
φυλάξας πανάμωμον,
190 ἣν ὡς θεοτόκον
ἀεὶ δοξολογοῦμεν.

ᾠδὴ θ'. *Ἀνάρχου γεννήτορος*

Δραστήριον φύλακα
καὶ πύργον ἀσφαλέστατον
ὁ Χριστός σε, παμμάκαρ,
195 ἡμῖν δεδώρηται,
p. 162 πρέσβυν δυνατώ‖τατον πάντων
καὶ ἀληθῶς
φερώνυμον δῶρον,
θερμὸν ἀντιλήπτορα
200 καὶ προστάτην συμπαθέστατον.

Ὁ πάντων κηδόμενος
καὶ πάντων προμηθούμενος
συνεργόν σε παρέσχεν
ἡμῖν καὶ σύμμαχον,
205 τῶν τῆς πονηρίας πνευμάτων
φυγαδευτὴν
καὶ νόσων διώκτην,
παθῶν ἀμυντήριον
καὶ πταισμάτων ἱλαστήριον.

---

189 πανάμωμε Bb 191 ἁγνὴν ὑπερυψοῦμεν Lm Bb
heirm. θ' EE 35, n. 46, Joannis 192 Χαριστήριον φύλακα Lm
φύλακα] φάλαγκα Bb 196 πάντων] ὄντως Lm Bb 202 καὶ] ὁ Lm Bb
203 παρέχων Bb 209 πτ. ἀμβλυτήριον Bb

192-193 Ez. 27,11 196 Is. 39,1 203 I Cor. 3,9 204 II
Mac. 8,24 209 Rom. 3,25

θεοτ. 210 Υἱὸς ὁ αἰώνιος,
ὁ Λόγος ὁ ἀΐδιος
ἐπ' ἐσχάτων προῆλθεν,
ἁγνή, ὡς ἄνθρωπος
ἐκ σοῦ τῆς κεχαριτωμένης
215 καὶ ἀληθῶς
παρθένου φανείσης·
διὸ θεομήτορα
θεοφρόνως σε κηρύττομεν.

---

211 ὁ λόγος συναΐδιος Bb 215 καὶ] τῆς Lm Bb 216 φανείσης παρθένου Lm παρθένε φανείσης Bb 218 κηρύττομεν] γεραίρομεν Lm

IN SANCTUM THEODORUM TIRONEM

Paris. gr. 13 = Q, ff. 258-258v
Crypt. Δ.α. XXI = Da, ff. 55v-58
Crypt. Δ.δ. II = De, ff. 48-52v
Paris. gr. 255 = Pk, ff. 166-168
Paris. gr. 1616 = Po, ff. 57v-62v

Ὁ κανών, ⟨οὗ ἡ ἀκροστιχὶς ἐν τῇ θ' ᾠδῇ· Ἰωσήφ⟩.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἁρματηλάτην Φαραὼ ἐβύθισεν*

Ταῖς θεϊκαῖς περιφανῶς λαμπρότησι
καλλωπιζόμενος
καὶ ἀθλητῶν στέφει
ἱερῶς κοσμούμενος
5 καὶ δόξῃ κλεϊζόμενος
τῆς ἁγίας Τριάδος,
τῶν εὐφημούντων σε μέμνησο,
μέγιστε μαρτύρων Θεόδωρε.

Μηνὶ τῷ αὐτῷ ιζ'. Τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος ... Εἰς τὸν ὄρθρον κανὼν τῆς ὀκτωήχου εἰς ς' καὶ τοῦ ἁγίου τὸν παρόντα κανόνα εἰς ς', εἰ οὐκ ἔστιν τεσσαρακοστὴ Q; Μηνὶ τῷ αὐτῷ εἰς τὴν ιζ'. Τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος καὶ τῆς ἁγίας Μαριάμνης ἀδελφῆς τοῦ ἁγίου ἀποστόλου Φιλίππου ... Ὁ κανών, quem huc proferimus; eum sequitur Ὁ κανὼν τῆς ἁγίας inc. Μόνε χορηγὲ τῶν ἀγαθῶν Da, cf. canonem S. Mariamnae; Μηνὶ τῷ αὐτῷ εἰς τὴν ιζ'. Τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος ... Ὁ κανὼν De; Μηνὶ τῷ αὐτῷ η'. Τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Στρατηλάτου καὶ τοῦ ἁγίου προφήτου Ζαχαρίου ... Ὁ κανὼν τοῦ ἁγίου Θεοδώρου Pk; Μηνὶ τῷ αὐτῷ η'. Τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Στρατηλάτου ... Ὁ κανὼν τῆς ἑορτῆς καὶ τοῦ ἁγίου εἰς ς' Po; nomen Ἰωσήφ in cd. Q legitur

heirm. α' EE 219, n. 314, Joannis 3 στέφος Da De 4 ἱερὸς Da De 7 μέμνησε Da De

Πλήρης φωτός, πλήρης ἐνθέου χάριτος
10 ἡμῖν ἀνέτειλεν
ἡ ἱερὰ μνήμη
τῶν σεπτῶν ἀγώνων σου
φωτιστικαῖς λαμπρότησι
καταυγάζουσα πάντας
15 τοὺς εὐσεβῶς σε γεραίροντας,
μάρτυς ἀθλοφόρε Θεόδωρε.

Εἰδωλικοῦ κατακρατοῦντος κλύδωνος
τῆς ἀνθρωπότητος
ὁ ἱερὸς μάρτυς
20 πηδαλιουχούμενος
σταυροῦ τῇ θείᾳ χάριτι,
ἀκυμάντως διέπλει
καὶ τοὺς λιμένας κατέλαβε
τοὺς ἐπουρανίους γηθόμενος.

θεοτ. 25 Πύλη Θεοῦ, τῆς μετανοίας πύλας μοι,
κόρη, διάνοιξον
καὶ λογισμοῖς θείοις
τὴν ψυχήν μου λάμπρυνον
καὶ τῶν παθῶν ἀπέλασον
30 τὰ βαρύτατα νέφη,
ὅπως γεραίρω γηθόμενος
καὶ χρεωστικῶς μακαρίζω σε.

ᾠδὴ γ'. *Ὁ στερεώσας κατ' ἀρχὰς*

Λέων καθάπερ πεποιθώς,
σταδίου ἔστης ἐν μέσῳ
35 διαγγέλλων τὸν σωτήριον λόγον,

---

15 σοι Pk 18 πᾶσαν ὑφήλιον Da De Pk 22 διέπλει] δὲ πλύει Da De ἐκπλεύσας Po 29 ἀπέλασον] ἐλάφρυνον Da De 30 βαθήτατα Pk 32 καὶ χρ. μακαρίζωμεν Da De

heirm. γ' EE 219, n. 314, Joannis

---

17 Luc. 8,24 33 Prov. 28,1

κερτομῶν τοὺς δυσμενεῖς,
κηρύττων τὴν ἀλήθειαν
καὶ στηλιτεύων ψεῦδος
τῆς ἀθείας, Θεόδωρε.

40 Ὁ δυσμενὴς καταπλαγεὶς
τὴν σὴν ἀνδρείαν, θεόφρον,
ἀλογώτατον θυμὸν παραθήξας
τοῖς βουνεύροις ἀφειδῶς
μαστίζει σε, Θεόδωρε,
45 τῶν βδελυρῶν ξοάνων
τὴν συντριβὴν ἐργασάμενον.

Ἀνδρειοτάτῳ λογισμῷ
τὰς τῶν μαστίγων νιφάδας
ὡς σπιλάδας θαλαττίους, θεόφρον,
50 ἀπεκρούσω, τοῦ σταυροῦ
τῇ χάριτι ῥωννύμενος
καὶ στεφηφόρος θείου
πνεύματος ῥώμῃ δεικνύμενος.

θεοτ. Τῆς συνεχούσης με δεινῆς
55 αἰχμαλωσίας, παρθένε,
ἀπολύτρωσαι, Θεὸν συλλαβοῦσα
καὶ κυήσασα, ἁγνή,
τὸν τοὺς βροτοὺς ῥυσάμενον
τῆς πονηρᾶς δουλείας
60 τοῦ ἀλλοτρίου, πανάμωμε.

---

36 κερτομούντα τούς δινούς Da κερτομοῦντα τοὺς δινοὺς De 42 παραδείξας Da De 44 μαστίζειν Da De 46 ἐργασάμενος Da De 51 τῇ χάριτι φραξάμενος Pk 54-60 Po disimile θεοτ. praebet quod inc. Τῶν Χερουβὶμ καὶ Σεραφὶμ / ἐδείχθης ὑψηλοτέρα MR III, 281 54 συλλαβούσης Da De

---

40-46 cf. DELEHAYE, *Les légendes*, (I) 129-130; (II) 140-142; (III) 159-161; (IV) 172-174; [VAN HOOFF], *Acta S. Theodori*, Anal. Boll. 2 (1883), 363-364; LATYŠEV, *Menologii*, I, (a) 32^{5-11}

Κάθισμα.

Ἦχος δ΄. *Ὁ ὑψωθεὶς ἐν τῷ ⟨σταυρῷ ἑκουσίως⟩*

Στρατολογίᾳ ἀληθεῖ, ἀθλοφόρε,
τοῦ οὐρανίου στρατηγὸς βασιλέως
....

ᾠδὴ δ΄. *Σύ μου, Χριστέ, κύριος*

Ἔχων Χριστὸν
ἔνδον σου, μάκαρ, φθεγγόμενον
Λικιννίου θράσος ἀπημαύρωσας,
λόγοις σοφοῖς τούτου ἀληθῶς,
65 μάρτυς, στηλιτεύσας
τὴν ὑπερβάλλουσαν ἄνοιαν
καὶ ἔργοις παραδόξοις
τοὺς ὁρῶντας ἐκπλήξας,
ἀθλητὰ γενναιόφρον Θεόδωρε.

70 Ἀναρτηθεὶς
παρανομίᾳ δικάζοντος
καὶ ὀνύχοις κατασπαρασσόμενος
καὶ φοινισσόμενος ταῖς ῥοαῖς,
μάρτυς, τῶν ἀδίκως
75 ἐκχεομένων αἱμάτων σου,
νεκρώσεως τὸ πάχος
καὶ φθορᾶς ἀπεδύσω
τοὺς χιτῶνας, παμμάκαρ, Θεόδωρε.

Κάθ. MR III, 536 pro festo s. Theodori Stratelatae; in Pk aliud κάθ. invenies inc. Ὑπὲρ φύσιν ἀγῶνας διηνυκῶς MR V, 247; in Po autem κάθ. inc. Θεϊκὴν πανευχίαν ἀναλαβὼν MR III, 538; idem κάθ. ante canonem exhibet De

heirm. δ΄ EE 219, n. 314, Joannis 62 μάκαρ] μάρτυς Da De 63 Λικιννίου] τοῦ τυράννου Da De λικινίου Pk 64 τούτον Da De 65 μάρτυς] μάκαρ Da De 67 παραδόξοις deest in Q 69 τῇ δυνάμει σου δόξα φιλάνθρωπε Pk 71 παρανομίας Q 72 καὶ ὀνύχων ξεσμοῖς σπαρασσόμενος Pk κατασπαραττόμενος Da De 77 φθορὰς Da De Pk

---

70-72 cf. DELEHAYE, *o.c.*, (I) 132^{1-7}; (II) 144^{4-16}; (III) 161-162; (IV) 176^{1-31}; (V) 192^{4-8}; [VAN HOOFF], *o.c.*, *l.c.*, 364; LATYŠEV, *o.c.*, (a) 32^{15-19}

Πολυειδεῖς
80 πόνους γενναίως ὑπήνεγκας
καὶ τοῖς ὄμβροις, μάρτυς, τῶν αἱμάτων σου
τὸν ἀλαζόνα καὶ δυσμενῆ
θείᾳ δυναστείᾳ
καταποντίσας, Θεόδωρε,
85 ὑψώθης, ἐδοξάσθης
καὶ τοῖς θείοις ἀγγέλοις
ὡμοιώθης, θεόφρον πανόλβιε.

θεοτ. * Τὸ πονηρὸν
ἁμαρτιῶν μου χειρόγραφον
90 θείᾳ λόγχῃ, πάναγνε, διάρρηξον
τῇ κεντησάσῃ θείαν πλευρὰν
τοῦ ἐνανθρωπῆσαι
ἐκ σοῦ, παρθένε, θελήσαντος
καὶ βίβλῳ με γραφῆναι
95 σῳζομένων δυσώπει
τὸν ἀφρόνως Θεοῦ μακρυνόμενον.

ᾠδὴ ε΄. *Ἵνα τί με ἀπώσω*

Φωτιζόμενος αἴγλῃ,
μάρτυς, θείου πνεύματος
καὶ πυρπολούμενος
100 τῇ Χριστοῦ ἀγάπῃ
φλεγομένης σαρκὸς οὐκ ἐφρόντισας,

79-87 trop. om. Po 79 πολυειδούς Da De 80 ὑπέμεινας Da De Pk 84 καταπατήσας Da De 87 πανόλβιε] θεόδωρε Da De 88-96 θεοτ. PaR, 662 88 Τῶν πονηρῶν Da De 91 θεία πλευρᾶ Da De 96 ἀφρόνως] ἀφθόνως Da De
heirm. ε΄ EE 219, n. 314, Joannis 101 φλεγομένην Da De

101-103 cf. DELEHAYE, *o.c.*, (I) 133^{14-21}; (II) 145^{14-24}; (III) 161-162; (V) 192^{8-9}

---

89 Col. 2,14 90-91 Joh. 19,34 99 IV Mac. 7,4

οὐκ ᾐσθάνου πόνων,
οὐκ ἐλογίζου τὰς βασάνους
οὐρανίαις ἐλπίσι τρεφόμενος.

105 Τὸν ζυγὸν τοῦ δεσπότου
φέρων ἐπαυχένιον,
τὸν ἐλαφρότατον,
μολυβδίνῳ βάρει,
ἀθλοφόρε παμμάκαρ, παιόμενος
110 οὐκ ἐκάμφθης ὅλως,
οὐκ ἐσαλεύθης, οὐχ ἡττήθης,
στρατιῶτα γενναῖε, Θεόδωρε.

Οὐρανόθεν φωνήσας
σὲ ὁ ὑπεράγαθος
115 Λόγος ἐθάρρυνεν,
οὗ τῇ δυναστείᾳ
τὰς πικρὰς ἀλγηδόνας ὑπήνεγκας
τῶν παρανομούντων,
μάρτυς Χριστοῦ, καὶ τὰς βασάνους
120 καὶ τὸν βίαιον, ἔνδοξε, θάνατον.

θεοτ. * Διαμένειν με σῶον
μὴ παρατρεπόμενον
στάσεως κρείττονος,
ἀλλ' εὐθυποροῦντα
125 καὶ Θεῷ τὰ εὐάρεστα πράττοντα,

---

108 βολυδίνω Da μολυδίνω De βάρι Da De 110 ὅλος Da De 112 στρατιλάτα Pk 113 φωνῆ σε Pk 114 σὲ om. Da De Pk πανυπεράγαθος Da De Pk 121-128 θεοτ. PaR, 663; pro hoc Pk tradit: Μητρικὴν παρρησίαν / τὴν πρὸς τὸν υἱόν σου κεκτημένη MR III, 283

---

104 cf. DELEHAYE, *o.c.*, (I) 131^{15-17}
108-109 cf. DELEHAYE, *o.c.*, (III) 161^{12-18}; (IV) 174^{13-17}; [VAN HOOFF], *o.c.*, *l.c.*, 364^{19-25}
113-120 cf. DELEHAYE, *o.c.*, (I) 130^{16-20}; (III) 158^{9-13}; 164^{12-22}; (IV) 170^{16-22}; 177^{18-25}; (V) 192^{4-10}; [VAN HOOFF], *o.c.*, *l.c.*, 363; LATYŠEV, *o.c.*, (a) 33-34

---

117 IV Mac. 16,17

ἀγαθή, δυσώπει,
τὸν ἀγαθὸν τεκοῦσα Λόγον
τὸν ἡμᾶς ἀλογίας ῥυσάμενον.

ᾠδὴ ϛ′. *Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον*

Τὸ πάθος τοῦ ἀπαθοῦς εἰκονίζων
130 ἐσταυρώθης, πανaοίδιμε μάρτυς,
προσηλωθεὶς
ἐν τῷ ξύλῳ, παμμάκαρ,
καὶ μιμητὴς τοῦ δεσπότου γεγένησαι
τοῦ λύσαντος διὰ σταυροῦ
135 τῶν ἀνθρώπων τὰ πάθη θελήματι.

Κρεμάμενος ὡς ἀμνὸς ἐπὶ ξύλου
καὶ τοῖς βέλεσι βαλλόμενος, μάκαρ,
καὶ ὀφθαλμῶν •
ἐκκεντούμενος κόρας
140 καὶ τιτρωσκόμενος ὅλῳ τῷ σώματι
κατέτρωσας τοῦ δυσμενοῦς
τὴν καρδίαν τῇ λόγχῃ τῶν πόνων σου.

Οἱ χείμαρροι τῶν ἀμέτρων βασάνων
τῇ οἰκίᾳ ἐπικλύσαντες, μάρτυς,
145 σοῦ τῆς ψυχῆς
οὐκ ἐσάλευσαν ταύτην·
ἐν ἀσαλεύτῳ γὰρ πέτρᾳ ἐστήρικτο

---

126 ἐνδυνάμωσόν με PaR 128 ἀλογίαν Da De
heirm. ϛ′ EE 219, n. 314, Joannis troparia odis ϛ′ Da et De hoc praebent ordine: 1, 3, 2,4 133 γενόμενος Da De Pk 137 μάκαρ] μάρτυς Pk 140 ὅλως Da De 142 τῇ καρδίᾳ Da De 143 βασάνων] πταισμάτων Da De 144-145 ἐπικλύσαντες ψυχῆς σου τὸν πύργον / μάρτυς χριστοῦ Pk 146 ταύτην] ὅλως Pk 147 ἐστήρικται Da De

---

130-132 cf. testimonia vv. 70-72
136-140 cf. DELEHAYE, *o.c.*, (III) 163[3-12]; (IV) 176[11-31]; [VAN HOOFF], *o.c.*, *l.c.*, 364[25-35]

---

133 I Thes. 1,6

τοῦ λάμψαντος ἐκ γυναικὸς
καὶ ἀνθρώπων τὸ γένος φωτίσαντος.

θεοτ. 150 Μαρία, παντὸς τοῦ κόσμου κυρία,
ὡς τὸν κύριον ἁπάντων τεκοῦσα,
τοῦ δυσμενοῦς
τῆς δουλείας με ῥῦσαι
καὶ τῆς αὐτοῦ τυραννίδος ἐξάρπασον
155 καὶ σῶσόν με τὸν ἀεὶ ἐπὶ σοὶ
ἀδιστάκτῳ καρδίᾳ ἐλπίζοντα.

Κοντάκιον.

Ἦχος πλ. δ′. Ἰδιόμελον.

Πίστιν Χριστοῦ ὡσεὶ θώρακα
ἔνδον λαβὼν ἐν καρδίᾳ σου
....

Ὁ οἶκος.

Ὁ ἐν θρόνῳ φωτὸς ἐποχούμενος,
εὐχαρίστως ἐν πίστει ὑμνοῦμέν σε
....

---

149 τὸ γένος] τὴν φύσιν Da De Pk φωτίσαντος] θεώσαντος Da De Pk 155 ἀεὶ om. Pk
Κοντάκ. et οἴκ. MR III, 607; Pk Po hoc κοντάκ. tradunt: κοντάκιον. Ἦχος β′. *Τὰ ἄνω ζητῶν* Ἀνδρείᾳ ψυχῆς / τὴν πίστιν ἐνδυσάμενος ... MR III, 542; Ὁ οἶκος. Τράνωσόν μου τὴν γλῶτταν, / ὁ μέγας τῶν μαρτύρων ὁπλίτης ... AK, 221 (Po diversum οἴκ. refert: Τῶν ἀθλητῶν τὸ ἔκλαμπρον κάλλος ... MR III, 542).
Post κοντάκ. Q praebet: Στίχοι.
Τήρων, ὁ δηλῶν ἀρτίλεκτον ὁπλίτην,
Θεῷ πρόσεισιν ἀρτίκαυστος ὁπλίτης = MR III, 607
Μηνὶ τῷ αὐτῷ ιζ′. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ Τήρωνος. Οὗτος ὁ ἅγιος ἦν κατὰ τοὺς χρόνους Μαξιμιανοῦ καὶ Μαξιμίνου τῶν βασιλέων ... (cf. Synax. Eccl. CP., 469). Τῇ αὐτῇ ἡμέρᾳ ἡ εὕρεσις τῶν λειψάνων τοῦ ἁγίου μάρτυρος Μηνᾶ τοῦ καλλικελάδου ... Ἐπὶ τῆς βασιλείας Βασιλείου τοῦ φιλοχρίστου ... (cf. Synax. Eccl. CP., 470). Καὶ ἄθλησις τῆς ἁγίας Μαριάμνης ἀδελφῆς τοῦ ἁγίου ἀποστόλου Φιλίππου.

f. 258v || ᾠδὴ ζ΄. *Θεοῦ συγκατάβασιν*

Φρουρᾷ ἐπὶ ξύλου σε
πεπεδημένον
ἅγιος ἄγγελος
160 ἀφικόμενος λύει,
παραθαρρύνων καὶ ἐνισχύων σε
μεγαλοφώνως
κραυγάζειν, Θεόδωρε·
« εὐλογητὸς ὁ Θεὸς
165 ὁ τῶν πατέρων ἡμῶν ».

Ἐλάλεις γηθόμενος
τὰ μεγαλεῖα
τοῦ παντοκράτορος·
ἐκπλαγέντες διό σε
170 οἱ καθορῶντες πλάνης κατέλιπον
τὴν τυραννίδα
καὶ πίστει ἐκραύζαγον·
«εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

175 Πλοκαῖς τῶν πανσόφων σου,
παμμάκαρ, λόγων
χαίρων ἐζώγρησας
ἐκ βυθοῦ ἀγνωσίας
τοὺς προσελθόντας καὶ θείους μάρτυρας
180 ἐναπειργάσω,

---

heirm. ζ΄ EE 219, n. 314, Joannis; troparia huius odis Po hoc ordine refert: 2, 3, 1, 4 157 Φρουρὰ Da De 163 κραυγάζεις Pk 164-165, 173-174, 182-183 cdd. varie recidunt orationem 170 ἀπέλυπον Da De ἀπέλιπον Pk Po 179 τοὺς] καὶ Q

157-174 cf. DELEHAYE, *o.c.*, (III) 164-165; (IV) 177-179; [VAN HOOFF], *o.c.*, *l.c.*, 365-366; LATYŠEV, *o.c.*, (a) 34
175-180 cf. DELEHAYE, *o.c.*, (III) 165[11-27]; (IV) 179; [VAN HOOFF], *o.c.*, *l.c.*, 365-367; LATYŠEV, *o.c.*, (a) 34-35

Θεόδωρε, ψάλλοντας·
« εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. * Ἐμὲ τὸν βιώσαντα
185 ἐν ἀμελείᾳ
καὶ παραβλέψαντα
τοὺς ἁγίους σου νόμους
καὶ τὰ σεπτά σου, Χριστέ, ἐντάλματα
οἴκτειρον, σῶσον
190 διὰ τῆς τεκούσης σε
ὡς εὐεργέτης Θεὸς
καὶ πολυέλεος.

ᾠδὴ η΄. *Ἑπταπλασίως κάμινον*

Περιφανῶς ἠγώνισαι
τὸν ἐχθρὸν τροπωσάμενος
195 καὶ ἐξαφανίσας
τὰ αὐτοῦ στρατεύματα
τοῖς ὅπλοις τῆς πίστεως·
νικητικὸν διάδημα
ὅθεν ἀνεδήσω
200 μελῳδῶν τῷ δεσπότῃ·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

205 Μετὰ σταυρόν, ἀοίδιμε,
μετὰ πάθος μακάριον,
μετὰ τὰς ἀπείρους
ἀλγηδόνας, ἔνδοξε,

---

181 θεόφρων θεόδωρε Da De βοῶντας θεόδωρε Pk 184-192 θεοτ. PaR, 665 188 Χριστέ] σῶτερ Pk PaR
heirm. η΄ EE 219, n. 314, Joannis 199 ἀνεδύσω Da De Pk 201-204, 214-216, 226-228, 237-240 cdd. varie resecant orationem 205 σταυροῦ Da De

Θεῷ τὸν αὐχένα σου
210 καθυποκλίνας, μάρτυς σοφέ,
ξίφει τὴν σεπτήν σου
κεφαλὴν ἀπετμήθης,
κραυγάζων τῷ δεσπότῃ·
« ἱερεῖς εὐλογεῖτε,
215 λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Τὸ ἱερόν, Θεόδωρε,
καὶ πολύαθλον σῶμά σου
κρήνη ἰαμάτων
220 τοῖς πιστοῖς γεγένηται,
ἐξ ἧς ἀπαρύονται
οἱ εὐσεβῶς προστρέχοντες
λύσιν παθημάτων
καὶ ψυχῶν σωτηρίαν
225 βοῶντες τῷ δεσπότῃ·
« ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. * Νενεκρωμένην ζώωσον,
230 συμπτωθεῖσαν ἀνάστησον,
τετραυματισμένην
τὴν ψυχήν μου ἴασαι,
τὸν νοῦν μου εἰρήνευσον,
τῶν πειρασμῶν τὰ κύματα
235 πράϋνον, παρθένε,
καὶ βοῶντά με σῶσον·

---

210 καθυπομείνας Q καθυποκλήνας Da De 217-228 trop. om. Pk 220 γεγέννηνται Da De 221 ἀπορρύονται Da De 224 σωτηρία Da 229-240 θεοτ. PaR, 666 230 ὡς συμπαθεῖς ἀνάστησον Da συμπαθεῖς ανά-στεισον De

---

209-212 cf. DELEHAYE, *o.c.*, (III) 166-167; (IV) 182; [VAN HOOFF], *o.c.*, *l.c.*, 367; LATYŠEV, *o.c.*, (a) 35[11-28]

217-224 cf. DELEHAYE, *o.c.*, (III) 167; (IV) 182; [VAN HOOFF], *o.c.*, *l.c.*, 367[17-21]; LATYŠEV, *o.c.*, (a) 35[28-31]

« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
240 εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἐξέστη ἐπὶ τούτῳ*

Ἱέρευσας, θεόφρον
μάρτυς, σαυτὸν
τῷ τυθέντι ἀμνῷ καὶ Θεῷ ἡμῶν
ἀνενεχθεὶς
245 θῦμα εὐωδέστατον πρὸς αὐτὸν
καὶ ἱερὸν ἀνάθημα
καὶ τελειοτάτη καὶ καθαρὰ
εὐπρόσδεκτος θυσία·
διό σε εὐφημοῦμεν
250 καὶ κατὰ χρέος μακαρίζομεν.

Ὡς ὄρθρος, ὡς ἡμέρα,
ὡς φωταυγὴς
καθωράθης, Θεόδωρε, ἥλιος,
φωτιστικαῖς
255 σοῦ τῶν παθημάτων μαρμαρυγαῖς
καὶ τῶν θαυμάτων ἅπασαν,
μάκαρ, τὴν ὑφήλιον εὐσεβῶς
φωτίζων καὶ διώκων
τὸ σκότος τῆς ἀπάτης
260 καὶ τῶν παθῶν ἡμῶν, Θεόδωρε.

Συνήφθης τοῖς ἀγγέλοις,
μετὰ σαρκὸς
τοὺς ἀσάρκους ἐχθροὺς τροπωσάμενος
καὶ ἀθλητῶν

---

240 εἰς πάντας] Χριστὸν εἰς PaR
heirm. θ' EE 220, n. 314, Joannis 241 θεόφρον] προθύμως Pk 250 καταχρέως Da De μακαρίζωμεν Da 251-260 trop. desideratur in Po

---

248 I Pe. 2,5

265 δήμοις ἐπευφραίνῃ διαπαντὸς
καὶ σὺν αὐτοῖς τὸ ἔνθεον
μέλος τῆς Τριάδος ἀναφωνεῖς,
Θεόδωρε τρισμάκαρ,
φωστὴρ τῆς Ἐκκλησίας,
270 τῶν ἀθλοφόρων ἐγκαλλώπισμα.

Ἡ γῆ τῇ καταθέσει
σοῦ τοῦ σεπτοῦ
ἡγιάσθη, Θεόδωρε, σώματος,
ὁ οὐρανὸς
275 χαίρει δὲ τὸ πνεῦμα τὸ ἱερὸν
ὡς κεκτημένος πάντοτε,
ἄνθρωποι, τὴν μνήμην σου τὴν σεπτὴν
τελοῦντες ἐτησίως,
αἰτούμεθά σε πρέσβυν
280 ὑπὲρ ἡμῶν, μακαριώτατε.

θεοτ. Φιλάγαθε παρθένε,
τὸν ἀγαθὸν
ἐκδυσώπει σωθῆναί με κύριον,
τοὺς μολυσμούς,
285 ἥλους καὶ τὰ τραύματα τῆς ἐμῆς
καρδίας ἀποπλύναντα
διὰ μετανοίας εἰλικρινοῦς
καὶ πένθους καὶ δακρύων,
ἵνα σε μακαρίζω
290 καὶ μεγαλύνω, παναμώμητε.

---

265 συνευφραίνει Da De Pk   267 τῇ τριάδι Da De Pk Po   ἀνευφημεῖς Da De   270 τῶν ἀθλητῶν τὸ ἐγκ. Pk   272 σοῦ om. Pk   σεπτοῦ] ἱεροῦ Pk   273 ἡγιάσθη λειψάνου σου πάνσοφε Pk   σῶμα σου Da De   275 χαίρει σου τὸ σῶμα τὸ φαεινὸν Da De   276 πάντοτε] πάνσοφε Pk   279 αἰτούμεθα πρεσβεύειν Da De Pk   285 ἥλους] ὅλα Da De   285-286 ὅλους καὶ τὰ τραύματα τῆς ψυχῆς / νῦν τῆς ἐμῆς ἀπόπλυνον Pk   286 ἀποπλύνουσα Da De

IN SANCTUM THEODORUM TIRONEM

Mess. gr. 136 = Mf, ff. 112-116

Ὁ κανών, οὗ ἡ ἀκροστιχίς·
Θεοδώρῳ τὸ δῶρον ᾆσμα προσφέρω.

Ἦχος πλ. δ΄.

ᾠδὴ α΄. *Ὑγρὰν διοδεύσας ⟨ὡσεὶ ξηρὰν⟩*

Θεὸς ὁ τὰ πάντα προθεωρῶν
καὶ πάντων τὴν γνῶσιν
ἐπιστάμενος ἀκριβῶς,
εἰδώς σου τὸν τρόπον τῆς καρδίας,
5 πρὸς τὴν διάθεσιν κλῆσιν ἐφόρμωσεν.

Ἐδόθης γὰρ ὄντως ἀπὸ γαστρός,
Θεόδωρε, δῶρον
ἱερώτατον τῷ Θεῷ
καὶ τούτῳ ἐτύθης μετὰ ταῦτα
10 καὶ προσηνέχθης εὐῶδες θυμίαμα.

Ἡμέρως προσήχθης καὶ τὸ λοιπὸν
σὺ ἀπεποιήθης,
τρισμακάριε ἀθλητά,
ὡς θῦμα δὲ μεμυελωμένον
15 ὁλοκαυτούμενος ἤρθης πρὸς κύριον.

---

tit. Ὁ κανὼν οὗ ἡ ἀκροστιχὶς τήνδε. θεοδώρω τὸ δῶρων ἄσμα προσφέρω (sic)
heirm. α΄ EE 220, n. 315, Joannis   11 Ἡμέρως] Ὀιμέρος

---

11 cf. DELEHAYE, *Les légendes*, (I) 129^{9-22}; (II) 140-141; (V) 191^{24-25}
14-15 cf. DELEHAYE, *o.c.*, (V) 192^{8-9}

---

4 Ps. 43,21; Prov. 24,12; Luc. 16,15

θεοτ. * Γενοῦ μοι, παρθένε, καταφυγὴ
λιμήν τε καὶ τεῖχος
καὶ προστάτις, ἡ τὸν Θεὸν
ἐν σαρκὶ τεκοῦσα, θεομῆτορ,
20 τὸν λυτρωτὴν καὶ πανοικτίρμονα.

f. 112ᵛ ᾠδὴ γ΄. *Οὐρανίας ἁψῖδος*

Δωρεαῖς οὐρανίαις
σὺ τὴν ψυχὴν πρότερον
κεχαριτωμένος, λαμπρὸς ἀστὴρ ὡς ἀπέλαμπες
καὶ τοὺς ἐν ζόφῳ πλάνης
25 εἰδωλικῆς δυσσεβείας
καταυγάζεις, ὁδηγεῖς πρὸς τὴν ἀλήθειαν.

Ὥσπερ λύχνος ὑπῆρχες
ὑπὸ πυρὸς ἄνωθεν
θείου ἐκκαιόμενος ὅλος καὶ πυρακτούμενος·
30 ὅθεν κρυβῆναι πάντη
τῶν ἀδυνάτων τυγχάνων
ἐπὶ λυχνίας ἐτέθης φέγγων τοῖς πέρασιν.

Ῥήματα σῶν χειλέων,
ὡς ἀστραπαὶ λάμποντα,
f. 113 35 || πᾶσαν καταυγάζουσι φρένα χρηστόφρονα,
θεῖε Θεόδωρε,
καὶ ἀσυνέτους καρδίας
ἐμπιπρῶσιν ὡς ὕλην εὐκατάπρηστον.

θεοτ. * Ζωῆς τῆς ἀκηράτου
40 θεία σκηνὴ γέγονας,
μόνη ἐξ αἰῶνος φανεῖσα παρθενομήτωρ ἁγνή·

16-20 θεοτ. PaR, 637-638; hoc in loco theotokii odis γ΄ ponet cd.
heirm. γ΄ EE 220, n. 315, Joannis; Οὐρανίης cd. 26 ὀδήγεις
35 φρέναν 39-44 θεοτ. PaR, 638; hoc in loco theotokii odis α΄ anteponet cd.

---

23 Apoc. 1,16 27-32 Matth. 5,15

διό, πανάμωμε,
τὸν ἐν σκιᾷ τοῦ θανάτου
πρὸς ζωὴν ὁδήγησον νῦν με πρεσβείαις σου.

ᾠδὴ δ΄. *Εἰσακήκοα, κύριε,*

45 Ὡραιώθη ὁ λόγος σου
τῆς ὁμολογίας, ἐθαυμαστώθη δὲ
τῆς ἀνδρείας ἡ ἐπίδειξις,
ἣν πρὸς τοὺς τυράννους ἐπιδέδειξαι.

Τὸ μὲν στόμα ἡγίασται
50 ταῖς θεολογίαις σου, ὦ Θεόδωρε,
αἷς τὸν κύριον ἐγέραιρες
ἐξυμνῶν τὸν μόνον βασιλέα Χριστόν.

Ὁ δὲ νοῦς σου πεφώτισται
φέγγει ἀπροσίτῳ τοῦ οὐρανίου πατρός·
f. 113ᵛ 55 ὅθεν || τούτῳ γλυκαινόμενος
διωκτῶν μανίας ἐξουδένωσας.

Δεσμευθεὶς οὖν τῷ ἔρωτι
τῷ ὑπερφυεῖ τῆς ἄνω λαμπρότητος,
θεῖε μάρτυς, κατηξίωσαι
60 τῶν καλῶν τὸ πρῶτον καὶ κατέλαβες.

θεοτ. * Ἱερῶς σε δοξάζουσι
τὰ τῶν ἀσωμάτων θεῖα στρατεύματα,
θεομήτωρ πανσεβάσμιε·
τὸν γὰρ κτίστην τούτων ἀπεκύησας.

---

42 ὅθεν καὶ δέομαι PaR
heirm. δ΄ EE 225, n. 322, Cosmae 61-64 θεοτ. PaR, 639

45-52 cf. DELEHAYE, *o.c.*, (I) 129-130; (II) 141-142; (III) 160-161; (IV) 172-173; [VAN HOOFF], *Acta s. Theodori*, Anal. Boll. 2 (1883), 364; LATYŠEV, *Menologii*, I, (a) 31; (b) 87, 89

45-46 II Regn. 1,26 49 Is. 29,23; Matth. 6,9 55 Ps. 54,14
56 Ps. 107,13

ᾠδὴ ε΄. *Φώτισον ἡμᾶς*
τοῖς προστάγμασί σου, κύριε,
καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ
τὴν σὴν εἰρήνην
5 *παράσχου ἡμῖν, φιλάνθρωπε.*

65 Ὢ τῆς θαυμαστῆς
καὶ γενναίας παρρησίας σου!
ἣ ναὸν θεᾶς ἀψευδοῦς ἐμπιπρᾷς
ἐκκόπτων ψεῦδος,
συνιστῶν δὲ τὴν ἀλήθειαν.

70 Ῥήμασι ψευδοῖς
ἀντετίθης λόγον ἔνθεον,
ταῖς βασάνοις δὲ καὶ τοῖς αἰκισμοῖς
f. 114 ‖ τὴν καρτερίαν,
ὦ Θεόδωρε, ἀντέθηκας.

75 Ὅλαι τοῦ ἐχθροῦ
αἱ ῥομφαῖαι ἐξελίμπανον,
ὡς ἀράχνια δὲ νήματα
τοῦ διαβόλου
αἱ βολαὶ ἐν σοὶ ἐλύοντο.

θεοτ. 80 * Μύρον μυστικὸν
ὀνομάζομέν σε, πάναγνε,
ὡς γεννήσασαν Θεὸν ἐν σαρκὶ
τὸν τὰ εὐώδη
ἀναρρύοντα χαρίσματα.

---

heirm. ε΄ EE 224, n. 321, Joannis 5 παράσχου ὡς μόνος εὔσπλαγνος EE 70 ψευδῆ 80-83 θεοτ. PaR, 640 83 ἀναβρύοντα PaR

65-69 cf. DELEHAYE, *o.c.*, (I) 129[6-22]; (II) 140-141; (V) 191[18-24]; LATYŠEV, *o.c.*, (b) 88[13-24]

75-76 Ps. 9,6 77-79 Ps. 38,11

ᾠδὴ ς΄. *Ἱλάσθητί μοι, σωτήρ,*

85 Νοὸς τὸ εἰλικρινὲς
καὶ καθαρώτατον, ἅγιε,
νοΐ τῷ πρώτῳ Χριστῷ
ἐν πνεύματι ἥνωσας,
ὃ οὐ διαλέλυται
90 ἐμβολαῖς πνευμάτων
καὶ ποικίλοις μηχανήμασιν.

Ἀπάρας ἀπὸ τῆς γῆς
πρὸς οὐρανὸν μεταβέβηκας,
ἐξέστης ἀπὸ σαρκός,
95 ἐγένου ἐν πνεύματι,
Θεῷ προσωμίλησας
διαστὰς ἀνθρώπων,
μεγαλομάρτυς Θεόδωρε.

Σοὶ πάντες οἱ ἐν τῇ γῇ
100 περιλειπόμενοι κράζομεν·
« μνημόνευε καὶ ἡμῶν
f. 114ᵛ ‖ τῶν ἱκετευόντων σε
καὶ παντοίων θλίψεων
καὶ πειρατηρίων
105 διεξάγαγε, Θεόδωρε ».

θεοτ. * Τὸ σκήνωμα τοῦ Θεοῦ
τὸ θεῖον ὄντως καὶ πάνσεπτον
ὑμνήσωμεν εὐσεβῶς,
Μαρίαν τὴν ἄχραντον·
110 Θεὸν γὰρ ἐχώρησεν
ὑποδεξαμένη
τὸ ἀκήρατον καὶ ἄληπτον.

---

heirm. ς΄ EE 220, n. 315, Joannis 98 μεγαλόμαρτυς metri causa cd. 106-112 θεοτ. MR IV, 333 112 ἀκήρατον] ἀχώρητον MR

99-100 IV Mac. 13,18

Κάθισμα.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ* ⟨*ἑκουσίως*⟩

Ὁ μεγαλώνυμος Χριστοῦ ἀθλοφόρος,
ὁ ἐπιπόθητος Θεῷ καὶ ἀγγέλοις
....

ᾠδὴ ζ'. *Παῖδες Ἑβραίων* ⟨*ἐν καμίνῳ*⟩

Μόνῳ σταυρῷ καθωπλισμένος
f. 115 ‖ τοῦ κυρίου σύ, Θεόδωρε τρισμάκαρ,
115 συνεπλάκης δεινῶς
ἐχθροῖς καὶ ἀλαζόσι
καὶ ἐν αὐτῷ τὰ κέρατα
τῶν ἀνόμων συνετρίβη.

Ἄνωθεν ῥῆμα ἐγενήθη
120 ἐπὶ σοὶ ἐκ τῶν ὑψίστων, θεῖε μάρτυς,
ὁδηγοῦν, δυναμοῦν,
κρατῦνον σὴν καρδίαν,
πρὸς ἰσχυρὰν παράταξιν
ἐνισχῦον τοῦ Βελίαρ.

125 Πίστει δεξάμενος τὸ ῥῆμα,
δι' αὐτοῦ δὲ ἐπισπώμενος τὸ πνεῦμα,
διὰ πνεύματος δὲ
Χριστὸν εἰσδεδεγμένος,
διὰ Χριστοῦ νενίκηκας
130 τὸ πολύμορφον θηρίον.

Κάθ. MR III, 536 pro festo s. Theodori Stratelatae
heirm. ζ' EE 220, n. 315, Joannis   122 κρατύνων   124 ἐνισχύων

119-124 cf. DELEHAYE, *o.c.*, (I) 130^{16-20}; (II) 142-143; (III) 158^{9-31}; (IV) 170^{16-22}; [VAN HOOFF], *o.c.*, *l.c.*, 362^{32-33}-363^{1-6}; LATYŠEV, *o.c.*, (a) 30^{7-1};
125-130 cf. DELEHAYE, *o.c.*, (I) 127^{7-20}; (II) 136-138; (III) $153\text{-}156^{1}$; [VAN HOOFF], *o.c.*, *l.c.*, 360-362; LATYŠEV, *o.c.*, (b) 86-87

---

117 Ps. 47,10

Ῥόδοις ἐπαίνων καὶ στεφάνοις
ἀμαράντοις τοῖς ἐκ λόγων ἐν αἰνέσει
καταστέφομεν σὴν
τὴν ὑπέρτιμον κάραν
135 ὡς εὐσεβείας πρόμαχον
καὶ καθαιρέτην ἀσεβείας.

θεοτ. * Ὄρος κατάσκιον ὡράθης,
f. 115v ἀχειρότμητον, ‖ ἐξ οὗ ἐτμήθη λίθος·
τὴν λιθώδη διὸ
140 κατάνυξον ψυχήν μου
πεπωρωμένην, δέσποινα,
ταῖς πικραῖς φιληδονίαις.

ᾠδὴ η'. *Οἱ θεορρήμονες παῖδες* ⟨*ἐν καμίνῳ*⟩

Ἱερώτατος μάρτυς τοῦ κυρίου
ὁ ἀθλητὴς τοῦ δεσπότου,
145 ὁ μεγαλόφρων Θεόδωρος,
τὸν μὲν χοῦν ἐπιρρίπτει
τῇ γῇ, τὸ δὲ πνεῦμα Χριστῷ.

Σάρκα μὲν πῦρ ἐξατμίζει τὴν ὑλώδη
τὸ ὑλικόν, τὴν ψυχὴν δὲ
150 τοῦ ἀθλοφόρου τὸ ἄϋλον
καὶ Θεῷ ἀναφέρει
θυσίαν ἀμίαντον.

Φωτιστικαῖς λαμπηδόσιν ὡς βολίσιν
ἀστραπημόρφοις προσώπου
155 τοῦ σοῦ φωτίζεις, Θεόδωρε,
τῆς Χριστοῦ Ἐκκλησίας
τὸ κρύφιον πρόσωπον.

137-142 θεοτ. PaR, 676   137 Ὄρος προβλέπει Δανιὴλ σε PaR
138 ἀχειρότμητος PaR   ἐκ σοῦ cd.   140 κατάνοιξον cd.
heirm. η' EE 227, n. 325, Joannis

---

131 Sap. 2,8; Ps. 20,3   137-138 Da. 2,34

θεοτ. * Ἐπιφανεῖσα, παρθένε, τῆς ψυχῆς μου
τὰ σκοτεινότατα νέφη
f. 116 160 τῷ φωτι‖σμῷ σου ἀπέλασον,
ἡ τῆς δικαιοσύνης
τεκοῦσα τὸν ἥλιον.

ᾠδὴ θ'. *Κυρίως θεοτόκον*

Ἐδόθης μὲν κυρίῳ
δῶρον ἀπὸ μήτρας
165 ἡγιασμένον, ἐκ γῆς ἀντεδόθης δὲ
παρὰ κυρίου τῷ κόσμῳ
δῶρον σωτήριον.

Ῥευμάτων ψυχοφθόρων
καὶ σωματοφθόρων
170 τὰς σηπεδόνας ξηραίνεις, Θεόδωρε,
τοῖς ποταμοῖς τῶν χαρίτων
καὶ τῶν θαυμάτων σου.

Ὡς μέγιστον προστάτην
σὲ πρὸς τὸν δεσπότην
175 εὐμοιρηκότες, τοῖς ὕμνοις γεραίρομεν
καὶ μεγαλύνομεν πάντες,
μάρτυς Θεόδωρε.

θεοτ. * Λιμὴν καὶ προστασία
τῶν σοὶ προσφευγόντων
180 γενοῦ, παρθένε, καὶ τεῖχος ἀκράδαντον
καταφυγή τε καὶ σκέπη
καὶ ἀγαλλίαμα.

158-162 θεοτ. PaR, 701
heirm. θ' EE 224, n. 321, Joannis 178-182 θεοτ. PaR, 640

17 FEBR. *CANON* XX

IN SANCTUM THEODORUM TIRONEM

Crypt. Δ.β. VII = Dq, ff. 60v-63

Ἕτερος κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Πλήρωσον ἡμῶν τὰς παρακλήσεις, μάκαρ. Ἰωσήφ.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Πεποικιλμένος τῇ δόξῃ
τῇ θεϊκῇ
τῷ Θεῷ παρίστασαι,
ἀθλητῶν ἡ καλλονή,
5 ἐκτενῶς αἰτούμενος ἡμῖν
τῶν τοῦ βίου δυσχερῶν
λύσιν, Θεόδωρε.

Λύσας ἐχθροῦ μεθοδείας
τοῖς σοῖς δεσμοῖς
10 δεδεμένους ἄφεσιν
λιτανεύειν τῷ Χριστῷ
πρυτανεύεις, ἅγιε· διὸ
πάντα λῦσον πειρασμὸν
ἡμῖν ἐρχόμενον.

Σάββατον α' τῶν νηστειῶν καὶ μνήμη τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος... Ὁ κανών... φέρων ἀκροστιχίδα τήνδε· Θεοῦ σε μέλπω δωρεῶν ἐπώνυμε, inc. Θεοῦ σε, Θεόδωρε, ἐραστὴν (ff. 58-60v), opus Ἰωάννου μοναχοῦ, cf. TR 206. Ἕτερος κανὼν εἰς τὸν ἅγιον μεγαλομάρτυρα Θεόδωρον φέρων ἀκροστιχίδα τήνδε· Πλήρωσον ἡμῶν τὰς παρακλήσεις, μάκαρ. nomen Ἰωσὴφ in margine sinistro f. 60v legitur, sed rubrica silet

heirm. α' EE 159, n. 224, Joannis 8 μεθοδίας cd.

15 Ἡλιακῶν λαμπηδόνων
πλέον ἡ σὴ
προστασία ἤπλωται
ἐπὶ ἅπασαν ψυχήν,
θαυμαστὲ Θεόδωρε· διὸ
20 δυσωπῶ σε σκοτασμοῦ
παθῶν με λύτρωσαι.

Ῥῦσαι πυρός με γεέννης
καὶ πειρασμῶν
τῶν ἐπερχομένων μοι
25 καὶ ἀνθρώπων πονηρῶν
καὶ τῆς ἐνοχλούσης με δεινῶς
τρικυμίας τῶν παθῶν,
μάρτυς Θεόδωρε.

θεοτ. Ὡραιωθεῖσαν τῷ κάλλει
30 τῶν ἀρετῶν
τὴν τὸ πᾶν συνέχουσαν
ἐν γαστρί σου ἀρετὴν
ὑπὲρ νοῦν συνέλαβες, ἁγνή,
Ἰησοῦν τὸν διὰ σοῦ
35 ἡμᾶς θεώσαντα.

ᾠδὴ γ′. *Οὐκ ἔστιν ἅγιος ὡς σὺ*

Συντρίψας σθένει θεϊκῷ
f. 61 τὴν κακίαν τοῦ || πλάνου
ἀπλανὴς ὁδηγία
χρηματίζεις τῶν πιστῶν,
40 προσκαλουμένων ἀεὶ
σοῦ τὴν χάριν,
μέγιστε Θεόδωρε.

---

heirm. γ′ EE 159, n. 224, Joannis

---

22 Matth. 5,22

Οὐκ ἔστιν τόπος τῶν ἐν σοὶ
ἄμοιρος χαρισμάτων
45 οὔτε ἄνθρωπος ὅστις
οὐ καλεῖ σε βοηθὸν
κινδύνοις προσομιλῶν
ἐν τῷ βίῳ,
ἔνδοξε Θεόδωρε.

50 Νυκτὸς ἀγνοίας πονηρᾶς,
ἀπὸ γλώσσης δολίας,
ἐξ ἀνθρώπων ἀδίκων,
δυσμενῶν ἐπαγωγῆς
καὶ πάσης ἄλλης ὀργῆς
55 ταῖς εὐχαῖς σου
ῥῦσαί με, Θεόδωρε.

Ἡ θεία χάρις διὰ σοῦ
ἀπολύει δεσμώτας,
ἀρρωστοῦντας ἰᾶται,
60 βοηθεῖ ἁμαρτωλούς,
τὰ ἐν κρυπτῷ φανεροῖ
σὲ τιμῶσα,
κράτιστε Θεόδωρε.

θεοτ. Μὴ φλέξαν ὅλως σε τὸ πῦρ
65 τῆς θεότητος, κόρη,
ἐξ ἁγνῶν σου αἱμάτων
ἐσαρκώθη καὶ βροτοὺς
ἐθέωσεν ἀληθῶς
καὶ κακίας
70 ὕλην ἀπετέφρωσεν.

ᾠδὴ δ′. *Χριστός μου δύναμις*

Ὡράθης δρέπανον
περιπετόμενον

---

heirm. δ′ EE 159, n. 224, Joannis

---

71 Zac. 5,1-2

καὶ κλεπτῶν διακόπτον
πᾶσαν ὁρμὴν
75 πονηράν, Θεόδωρε,
καὶ τοὺς δρασμοὺς τῶν οἰκετῶν
ἀναστέλλον ἐμφανέστατα.

Νεκρὸς γενόμενος
τοῖς παραπτώμασιν
80 ἱκετεύω σε, μάκαρ,
ὡς τῇ ζωῇ
χαίρων παριστάμενος,
ζώωσον, σῶσόν με ταῖς σαῖς
εὐπροσδέκτοις παρακλήσεσιν.

85 Τὰ θεῖα στίγματα,
τὰ ἀριστεύματα,
τοὺς κρουνοὺς τῶν αἱμάτων,
τὴν εὐκλεῆ
πᾶσαν μαρτυρίαν σου
90 περιχαρῶς ἀνευφημῶ,
ἀξιάγαστε Θεόδωρε.

Ἀγάπῃ σύζευξον,
ἡμῶν τὰ σκάνδαλα
ἀπελαύνων τοῦ βίου,
95 ὡς τῇ πηγῇ
f. 61ᵛ τῆς ἀγάπης ‖ πάντοτε
χαρμονικῶς παρεστηκώς,
μεγαλώνυμε Θεόδωρε.

θεοτ. Σὺ μόνη ἄχραντος,
100 σὺ μόνη ἄμωμος,
σὺ κεχαριτωμένη
ἐν γυναιξὶν
ὤφθης, ἀειπάρθενε·
διό σε πίστει δυσωπῶ
105 τὴν καρδίαν μου χαρίτωσον.

78-83 Eph. 2,1-6 85 Gal. 6,17

ᾠδὴ ε΄. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Παντοίαις, μάρτυς, ἐπιβουλαῖς
ἐκ τῶν συνεχόντων με δεινῶν
τῆς αἰωνίου κολάσεως
καὶ τῆς κατεχούσης κακῆς πωρώσεως
110 καὶ τῆς αἰχμαλωσίας
ῥῦσαί με, δέομαι.

Ἀπὸ περάτων πάσης τῆς γῆς
ἔστιν περιβόητον τὸ σόν,
μάρτυς Θεόδωρε, ὄνομα·
115 πᾶς γὰρ ἐν ὀδύνῃ σὲ προσκαλούμενος
εὑρίσκει σε προστάτην
ἀκαταγώνιστον.

Ῥομφαία δίστομος κατ᾽ ἐχθρῶν
πάντων ὁρωμένων, ἀθλητά,
120 καὶ ἀοράτων γενόμενος
τοὺς ἐπερχομένους κακοποιῆσαί με
ἀφάνισον καὶ τούτων
τῆς βλάβης ῥῦσαί με.

θεοτ. Ἁγία δέσποινα, ἡ Θεὸν
125 τὸν ἐν τοῖς ἁγίοις ἀληθῶς
ἀναπαυόμενον τέξασα,
τοῦτον ἐκδυσώπει κατοικτιρῆσαί με
τοῖς πάθεσι τοῦ βίου
κλυδωνιζόμενον.

ᾠδὴ ς΄. *Τοῦ βίου τὴν θάλασσαν*

130 Καλὸς ἡμῖν πρόμαχος,
ἀγαθὴ καταφυγὴ

---

heirm. ε΄ EE 159, n. 224, Joannis
heirm. ς΄ EE 159, n. 224, Joannis

---

118 Apoc. 1,116 121 Gen. 31,7

καὶ ῥύστης ἐτυμότατος,
ἀναψυχὴ καὶ σκέπη παρὰ Θεοῦ
ἐδόθης, Θεόδωρε·
135 διὰ τοῦτό σε πόθῳ μακαρίζομεν.

Λιμὴν ἡμῖν φάνηθι
θαλαττεύουσιν ἀεὶ
ταῖς κοσμικαῖς συγχύσεσιν,
παῦσον τὸν σάλον, μάρτυς, τῶν πειρασμῶν,
140 κυβέρνησον ἅπαντας
πρὸς τὴν θείαν γαλήνην, δυσωποῦμέν σε.

f. 62 || Ἡ γῆ καὶ ἡ θάλασσα
ἐμερίσαντο τῶν σῶν
θαυμάτων τὴν ἐνέργειαν·
145 φθάσον κἀμὲ παντοίαις ἐπιβουλαῖς
δαιμόνων κλονούμενον,
συμπαθέστατε μάρτυς, ἱκετεύω σε.

θεοτ. *Σὲ πρέσβυν [illegible]*
ὁ κλεινὸς ἐν ἀθληταῖς
150 ἐκτήσατο Θεόδωρος,
θεογεννῆτορ, πάντων καταφυγή·
διὸ ἱκετεύω σε
τῆς κακίας με ῥῦσαι τοῦ ἀλάστορος.

ᾠδὴ ζʹ. *Δροσοβόλον μὲν τὴν κάμινον* ⟨*εἰργάσατο*⟩

Ἐταπείνωσας τὴν πλάνην ταπεινούμενος
155 διὰ Χριστόν, Θεόδωρε·
διὰ τοῦτό σε
ἱκετεύω, μάρτυς, τὴν ἐμὴν
ταπείνωσιν ῥῦσαι χαλεπῆς
ἐπαγωγῆς τῶν ὁρατῶν
160 καὶ ἀοράτων ἐχθρῶν.

---

heirm. ζʹ EE 159, n. 224, Joannis

154-155 Jac. 4,10

Ἰαμάτων σε πηγήν, μάρτυς, ἀνέδειξεν
Χριστὸς ἡ ζωοδόχος πηγή·
ὅθεν, δέομαι,
ἴασαί μου πάθη τὰ κρυπτὰ
165 καὶ σῶσόν με ψάλλοντα πιστῶς·
« εὐλογητὸς εἶ, ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Σταλαγμοῖς τῶν σῶν αἱμάτων ἀπεσβέσθησαν
πολυθείας ἄνθρακες·
170 ὅθεν πίστει σε
δυσωπῶ, μαρτύρων καλλονή,
κατάσβεσον ἅπασαν πυρὰν
ἐπερχομένων κατ' ἐμοῦ
πολυειδῶν πειρασμῶν.

θεοτ. 175 Μὴ παρίδῃς με ποικίλαις περιστάσεσιν
προσομιλοῦντα, δέσποινα·
μὴ ἐάσῃς με
κλυδωνίζεσθαι διηνεκῶς
ταῖς αὔραις πνευμάτων πονηρῶν,
180 ἀλλὰ τῆς τούτων, δυσωπῶ,
κακίας ῥῦσαί με.

ᾠδὴ ηʹ. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Ἀγαθέ μου προστάτα,
μάρτυς Θεόδωρε,
τὸ γλυκὺ κατὰ πάντα
185 πρᾶγμα καὶ ὄνομα,
ἐκ τῶν ἀναγκῶν
f. 62v καὶ τῶν θλίψεων ῥῦ||σαί με
τῶν ἐπερχομένων δαιμόνων ἐπηρείαις.

---

heirm. ηʹ EE 159, n. 224, Joannis 167 v. om. cd.

186-187 II Cor. 6,4

Κοσμηθεὶς ταῖς παντοίαις
190 ἄθλων λαμπρότησιν
ἀθλητῶν κόσμος ὤφθης,
μάρτυς Θεόδωρε·
ὅθεν δυσωπῶ
τῆς δεινῆς ἀκοσμίας με
195 τῶν ἁμαρτημάτων ἀπάλλαξον εὐχαῖς σου.

Αἰχμαλώτοις βραβεύεις
τὴν ἀπολύτρωσιν,
τοὺς φυγάδας ἐπέχεις
παρακαλούμενος,
200 ἅπασαν κλοπὴν
φανεροῖς δυσωπούμενος,
μέγιστε μαρτύρων, Θεόδωρε τρισμάκαρ.

θεοτ. Ῥητορεύουσα γλῶσσα
τὰ μεγαλεῖά σου
205 οὐδαμῶς ἀναγγεῖλαι
δύναται, δέσποινα·
μόνη γὰρ Θεοῦ
ἀγαθοῦ μήτηρ γέγονας,
ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Θεὸν*
ἀνθρώποις ἰδεῖν ἀδύνατον

210 Ἰσχὺν
καὶ κράτος σε περιέζωσεν
ὁ δυνατός·
διὸ τὸν ἐν κακίᾳ καυχώμενον
ἐταπείνωσας ἄσαρκον δράκοντα,

---

209 εἰς πάντας τοὺς αἰῶνας om. cd.
heirm. θ' EE 159, n. 224, Joannis

210-212 Ps. 17,42 213 cf. I Cor. 1,31

215 μέγιστε στρατιῶτα,
οὗ τῆς κακίας με
καὶ τῆς πανουργίας ἐξελοῦ,
μάρτυς Θεόδωρε.

Ὡς ὢν
220 ἀνάπλεως, ἀξιάγαστε,
τῶν δωρεῶν
τῶν θείων καὶ ἡμᾶς ταύταις πλούτισον
κατευνάζων τοῦ βίου τὸν τάραχον,
σώους διαφυλάττων,
225 ἀνεπερέαστον
πάντων τὴν ζωὴν διατηρῶν
τῇ μεσιτείᾳ σου.

Συνὼν
ταῖς ἄνω θείαις δυνάμεσιν
230 καὶ ἀθλητῶν
εὐκλείαις ἱερῶς κλεϊζόμενος
τοῖς ἐν γῇ ἐν ἀνάγκαις καλοῦσί σε
πάρεσο, βοήθησον
καὶ ἐξαιρούμενος
235 τῶν ἐπερχομένων θλιβερῶν,
μάρτυς πολύαθλε.

Ἡμῶν,
τῶν πίστει προσκαλουμένων σε,
γενοῦ θερμὸς
240 προστάτης, ἀθλοφόρε Θεόδωρε,
f. 63 ‖ μεταβάλλων τοῦ βίου τραχύτητα,
λύπην διασκεδάζων,
παύων τὰ σκάνδαλα,
πᾶσιν ἐξαιτούμενος ἡμῖν
245 πταισμάτων ἄφεσιν.

θεοτ. Φωτὸς
ὑπάρχουσα ἐνδιαίτημα,

---

225 ἀνεπερέαστον (sic) cd.

φωτιστικαῖς
πρεσβείαις σου τὰ νέφη ἀπέλασον
250 τῆς ζοφώδους καρδίας μου πάντοτε,
ὅπως σε μεγαλύνω,
ὅπως δοξάζω σε,
ὅπως εὐχαρίστως σε ὑμνῶ,
θεοχαρίτωτε.

17 FEBR. *CANON* XXI

IN SANCTAM MARIAMNAM SOROREM SANCTI PHILIPPI APOSTOLI

cd. Vat. gr. 1515, f. 229 : Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας Μαριάμνης ἀδελφῆς τοῦ ἁγίου Φιλίππου. Μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ παραγενόμενος ὁ ἅγιος Φίλιππος μετὰ Βαρθολομαίου καὶ Μαριάμνης τῆς αὐτοῦ ἀδελφῆς εἰς Ἱεράπολιν, καὶ διὰ τὸ κηρῦξαι τὸν λόγον τοῦ Χριστοῦ, κρεμασθεὶς καὶ τελειωθεὶς ηὔξατο πρὸς τὸν Θεὸν καὶ κατεχώσθησαν εἰς τὴν γῆν ὁ ἀνθύπατος καὶ ὁ ὑπ' αὐτὸν λαός. Οἱ δὲ λοιποὶ φοβηθέντες, παρεκάλεσαν τὸν ἅγιον Βαρθολομαῖον καὶ τὴν ἁγίαν Μαριάμνην, κρεμαμένους ὄντας, ἵνα μὴ καὶ αὐτοὶ καταποντισθῶσι. Καὶ ἐδυσώπησαν f. 229^{v} αὐτοὶ τὸν ἅγιον Φίλιππον καὶ οὐ κατε‖πόντισεν αὐτούς, ἀλλὰ καὶ τοὺς καταποντισθέντας ἐξήγαγε· τὸν δὲ ἀνθύπατον καὶ τὴν ἔχιδναν ἀφῆκε κάτω. Τότε ἀπελύθησαν ὁ Βαρθολομαῖος καὶ ἡ Μαριάμνη. Καὶ ὁ μὲν Βαρθολομαῖος, ἀπελθὼν εἰς Ἰνδίαν τὴν Εὐδαίμονα, σταυρωθεὶς τελειοῦται, ἡ δὲ ἁγία Μαριάμνη, ἀπελθοῦσα εἰς Λυκαονίαν καὶ κηρύττουσα τὸν λόγον τοῦ Χριστοῦ καὶ πολλοὺς βαπτίσασα, ἐν εἰρήνῃ ἐτελειώθη.

Crypt. Δ.α. XVI = Ci, ff. 92-94^{v}
Vat. gr. 2008 = Vm, ff. 63-64
Paris. gr. 1562 = Pp, ff. 87^{v}-91^{v}
Barber. gr. 460 = Bd, ff. 40-42
Reg. gr. 54 = Lm, ff. 67^{v}-68^{v}
Crypt. Δ.α. XXI = Da, ff. 58-60

Ipse canon ab A. GONZATO, *Tre canoni inediti di Giuseppe Innografo tramandati da codici criptensi dell'XI e XII secolo,* Atti dell'Istituto Veneto di Scienze, Lettere ed Arti 118 (1959-1960), 305-314, ex cd. Crypt. Δ.α. XVI editus est.

tit. Ὁ κανὼν φέρων ἀκροστιχίδα· Μέλπω γεγηθὼς τὴν Μαριάμνης χάριν Ci; Τῇ αὐτῇ ἡμέρᾳ κανὼν τῆς ἁγίας Μαριάμνης φέρων ἀκροστιχίδα· Μέλπω γεγηθὼς τὴν Μαριάμνης χάριν. Ἰωσὴφ Vm; Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Μέλπω ... Pp Lm; Ὁ κανὼν φέρων ἀκροστιχίδα· Μέλπω γεγηθὼς τὴν Μαριάμνης χάριν. Ἰωσὴφ Bd; Ὁ κανὼν τῆς ἁγίας Da; nomen Ἰωσὴφ in margine cdd. Ci Pp legitur

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Μέλπω γεγηθὼς τὴν Μαριάμνης χάριν. Ἰωσήφ.

Ἦχος πλ. δʹ.

ᾠδὴ αʹ. *Ἆισμα ἀναπέμψωμεν, λαοί,*

Μόνε χορηγὲ τῶν ἀγαθῶν,
λόγον μοι θεῖον ἔμπνευσον
τὴν ἀξιάγαστον
ὑμνῆσαι Μαριάμνην
5 θερμῶς σε ποθήσασαν
καὶ σὺν τοῖς Ἀποστόλοις
τῷ φρικτῷ σου
θρόνῳ παρεστῶσαν.

Ἔργοις ἰσαπόστολος, σεμνή,
10 ἐναπεδείχθης· Λόγον γὰρ
ζωῆς πλουτήσασα
διέδραμες τοὺς πάλαι
κακίᾳ τεθνήξαντας,
πίστει ζωογονοῦσα
15 καὶ ἡμέρας
υἱοὺς ἐκτελοῦσα.

Λάμπεις φρυκτωρίαις ἀρετῶν
καὶ καταυγάζεις ἅπαντας
ἐνθέως, Μαριάμνη,
20 τοὺς πίστει τὴν φωσφόρον
τελοῦντάς σου κοίμησιν
καὶ τὴν ἀγγελικήν σου
πολιτείαν
ἀνυμνολογοῦντας.

---

heirm. αʹ EE 225, n. 323, Germani 5 θερμῶς δυσωποῦσαν σε Bd 8 παρεστῶσα Bd 9 ἰσαπόστολος] ἡ ἀπόστολος Vm 12 πάλαι] πλάνη Bd 13 κακίας τυφλόττοντας Bd 18 καταλάμπεις Bd 19 ἐνθέων Vm 20 τούς] τοῖς Vm 24 ἀνυμνολογοῦσιν Bd

---

10-11 I Joh. 1,1 15-16 I Thes. 5,5; Luc. 16,8

θεοτ. 25 Πύλη τοῦ φωτὸς τοῦ νοητοῦ,
δι᾽ ἧς ὡς οἶδε, δέσποινα,
εἰσῆλθε καὶ ἐξῆλθεν,
διάνοιξόν μοι πύλας
ἐξομολογήσεως
30 καὶ εἰλικρινεστάτης
μετανοίας
τῇ σῇ προστασίᾳ.

ᾠδὴ γʹ. *Οὐρανίας ἁψῖδος,*
ὀροφουργέ,

Ὡραιώθης ποθοῦσα
τῶν ὀρεκτῶν ἔσχατον,
35 δι᾽ ὑπερβολὴν εὐσπλαγχνίας
σάρκα πτωχεύσαντα
καὶ ἠκολούθησας
τοῖς ζωτικοῖς αὐτοῦ λόγοις
τὰ τοῦ βίου ἅπαντα
40 τερπνὰ μισήσασα.

f. 92ᵛ || Γηπονοῦσα καρδίας
τῷ ἱερῷ λόγῳ σου
στάχυν εὐσεβείας προφέρειν
Χριστῷ πεποίηκας
45 τῷ σὲ τιμήσαντι
περιφανῶς, Μαριάμνη,
ὡς αὐτοῦ μαθήτριαν
θείοις χαρίσμασιν.

25-32 idem θεοτ. in canonem XXVI, s. Timothei, 21 Febr. vv. 28-36, invenies 26 ὡς om. Lm

heirm. γʹ EE 220, n. 315, Joannis; Οὐρανίης Ci Vm Pp Οὐρανίου Bd 33 ποθοῦσα] τῶ πόθω Vm 35 τὸν ὑπερβολῇ εὐσπ. Pp Bd Lm Da 38 τούτου Bd Lm 40 τερπνῶς Bd 42 λόγῳ σου deest in Lm 43 προσῆξας Vm πρὸσφέρειν Bd Da 44 πεποίηκας] πανεύφημε Vm

---

27 Act. 1,21 36 Philip. 2,7

Εἰς Χριστοῦ μαθητείαν
50 τοῦ λυτρωτοῦ κέκλησαι
καὶ σὺν τῷ πανσόφῳ Φιλίππῳ
ἔθνεσι κήρυγμα
τὸ ἱερώτατον,
ἱερωτάτη παρθένε,
55 ἐπιστεύθης χάριτι
τοῦ θείου πνεύματος.

θεοτ. Γένος σέσωσται, κόρη,
τὸ τῶν βροτῶν χάριτι
τοῦ ἐκ τῆς γαστρός σου ἀρρήτως
60 σάρκα πτωχεύσαντος·
ὅθεν γεραίρει σε
καὶ εὐσεβῶς μακαρίζει,
παναγία δέσποινα
θεοχαρίτωτε.

Κάθισμα.

Ἦχος γ'. *Θείας πίστεως ὁμολογίᾳ*

Θείαν ἔλλαμψιν κληρωσαμένη
φέγγος ἤστραψε θεογνωσίας
τοῖς ἐν νυκτὶ τῆς ἀγνωσίας ὑπάρχουσιν
καὶ μεταστᾶσα πρὸς φῶς τὸ ἀνέσπερον
5 Μαριάμνη ἐσκήνωσε χαίρουσα·
ὅθεν σήμερον
τὴν μνήμην αὐτῆς τελέσωμεν·
αἰτεῖται γὰρ ἡμῖν τὸ μέγα ἔλεος.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τῆς οἰκονομίας σου

65 Ἡ φαιδρά σου πανήγυρις,
φέγγει θείου πνεύματος ἐξαστράπτουσα,

49 μαθητρίαν Ci μαθήτριαν Bd 52 κήρυκα Da 54 ἱερωτάτοις Bd
60 πτωχεύσαντα Bd
heirm. καθ. MR II, 55; κάθ. Vm Pp Lm Da om. 2 ἤστραψας Bd
heirm. δ' EE 225, n. 322, Cosmae 65 σοι Da 66 ἐξάστράψασα Vm

καταυγάζει τὰς ψυχὰς ἡμῶν,
Μαριάμνη, πάντων τῶν τιμώντων σε.

Θαυμασίοις ἐπίστωσας
70 θείοις, Μαριάμνη, τοὺς ματαιόφρονας
καὶ πρὸς κύριον ἐπέστρεψας
τὸ τῆς πλάνης σκότος καταλείψαντας.

Ὡς τοῦ Λόγου μαθήτρια
σὺν Βαρθολομαίῳ τῷ θεοκήρυκι
75 καὶ Φιλίππῳ τῷ θεόφρονι,
Μαριάμνη, κόσμον κατεφώτισας.

Συνετρίβη, πανεύφημε,
ὄντως πρὸ προσώπου σου ὄρη βίαια
καὶ βουνοί, θεομακάριστε,
f. 93 80 πο‖νηρῶν δαιμόνων κατετάκησαν.

θεοτ. * Ταπεινώσασα σῶσόν με
τὸν ὑψηλοφρόνως πολιτευόμενον,
ἡ τεκοῦσα τὸν ὑψώσαντα
τὴν ταπεινωθεῖσαν φύσιν, πάναγνε.

ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*
ἀπὸ τοῦ προσώπου σου

85 Ἡ ψυχή σου ὡραία
πνεύματος τῆς χάριτι,
ἁγνή, γεγένηται,
ὁπηνίκα ἔγνως
τὸν ὡραῖον ἐν κάλλει Χριστὸν τὸν Θεὸν

73 μαθήτριαν Bd 77-80 Vm tantum litteram initialem «Σ» praebet, post quam lacuna unius troparii; idem troparium desideratur in Lm Da
81-84 θεοτ. MR V, 166 82 πολιτευσάμενον Vm Da
heirm. ε' EE 219, n. 314, Joannis 87 ἁγνή] σεμνή Vm Pp Bd Lm
89 ἐν] τῷ Vm

78 Ps. 148,9; Luc. 3,5 83-84 Luc. 1,52 89 Ps. 44,2

90 καὶ αὐτοῦ τῷ πόθῳ
ὁλικωτάτως προσεδέθης,
Μαριάμνη παρθένε θεόνυμφε.

Νόσους ἔλυσας πάσας
σθένει θείου πνεύματος
95 καὶ ἀπεδίωξας
ἀθεΐας ζόφον
ἀστραπαῖς τοῦ πανσόφου κηρύγματος
καὶ πρὸς μέγα φέγγος
τῆς οὐρανίου βασιλείας,
100 Μαριάμνη, μετέβης χορεύουσα.

Μαριάμνην συμφώνως
σήμερον καὶ Φίλιππον
ἀνευφημήσωμεν
καὶ Βαρθολομαῖον,
105 τοὺς Χριστοῦ μαθητὰς χρηματίσαντας
καὶ τῆς ἀθεΐας •
ἐκριζωτὰς γεγενημένους
καὶ φωστῆρας ζωῆς Λόγον ἔχοντας.

θεοτ. Ἀπειρόγαμε κόρη,
110 τὸ ὑπὲρ κατάληψιν
θεῖον μυστήριον,
τὸ πρὸ τῶν αἰώνων
ὁρισθέν, εἰς φανέρωσιν ἤνεγκας
ἀπορρήτῳ λόγῳ
115 καὶ μυστικῇ κυοφορίᾳ
τὸν υἱὸν τοῦ Θεοῦ σωματώσασα.

ᾠδὴ ϛʹ. *Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον*

Ῥημάτων σου ἱερῶν ἀναβλύσει
ἐξηράνθη ἀθεΐας τὰ ῥεῖθρα

---

91 ὁλικοτάτω Bd προσδεθεῖσα Vm προσετέθης Da 92 θεόνυμφε] πανεύφημε Bd 104 σὺν βαρθολομαίω Lm Da 105 τῶ κλεινῶ καὶ σεπτῶ ἀποστόλω χριστοῦ Da 107 ἐκριζῶντας Lm 108 φωστῆρα Lm λόγον ζωῆς Pp ἐπέχοντας Pp 110 τὸν Bd κατάλειψιν Ci 111 θεῖον] μέγα Bd 116 σωματούμενον Vm

heirm. ϛʹ EE 219, n. 314, Joannis 117 Ῥημ. τῶν ἱερ. ἀνάβλυσιν Bd ἀναβλύζει Lm 118 ῥεῖθρα] θράση Vm

καὶ θαυμαστῶν
120 ἐπομβρίαις θαυμάτων
ῥύπος παθῶν ἀπεπλύθη εἰς πίστωσιν,
πανένδοξε, τῶν θολεροῖς
βυθισθέντων τοῦ ὄφεως ὕδασιν.

Ἰσότιμον τῷ γεννήτορι Λόγον
125 καταγγέλλουσα, σοφὴ Μαριάμνη,
τοὺς τὴν δεινὴν
f. 93v ὑποστάντας || ἀπάτην
καὶ τῇ ἐχίδνῃ ἀθλίως λατρεύοντας
ἀπέδειξας τέκνα φωτὸς
130 καὶ ἡμέρας υἱοὺς διὰ πίστεως.

Ἀπάτῃ με συσχεθέντα ἀφρόνως
τῇ τοῦ ὄφεως, δεινῶς ἐμακρύνθην
ἀπὸ Θεοῦ,
ἁμαρτάνων ἀσώτως,
135 ἀλλ᾽ ὡς παρθένος καὶ μάρτυς Χριστὸν τὸν Θεὸν
ἱκέτευε διὰ παντός,
Μαριάμνη, σωθῆναί με, δέομαι.

θεοτ. Μακάριος ὁ λαὸς ὁ γινώσκων
σὲ μητέρα τοῦ δεσπότου, παρθένε·
140 καὶ γὰρ τῇ σῇ

---

120 ἐπομβρία Pp Lm Da ἐπομβρίας Bd 121 ῥύπου Da ἀποπαύθη Bd 122 τὸν Ci Da θολερῶν Bd 123 βυθισθέντα Ci 125 σοφὴ] σεμνὴ Vm 126 τῇ δεινῇ Bd 127 ἀπάτη Bd 128 ἀθλίως] ἀθέως Pp λατρεύσαντας Vm 129 ὑπέδειξας Vm 130 διὰ πίστεως] ἐν τῇ χάριτι Bd 131-137 pro hoc Vm tradit: Ἀγνοίας τὸν σκοτασμὸν ἐξ ἀνθρώπων / ἐκδιώξασα, σεμνὴ Μαριάμνη, / σὺν τῷ σοφῷ / καὶ ὁμαίμονι μάλα / θεογνωσίας πρὸς φῶς ἐποδήγησας, / διδάγμασιν ὡς ἀληθῶς / θεαυγέσι καὶ βίῳ ἀστράπτουσα. Pp Lm Da hoc dissimile troparium praebent: Ἀνύστακτον τῆς ψυχῆς τὴν λαμπάδα / συντηρήσασα ἐλαίῳ, παρθένε, / τῶν ἱερῶν / καὶ ἁγίων σου πόνων, / εἰς τὸν νυμφῶνα εἰσῆλθες τὸν ἅγιον / νυμφίῳ σου τῷ νοητῷ, / Μαριάμνη, ἀεὶ συνευφραίνεσθαι. Bd autem aliud troparium refert: Αἱ τρίβοι τῶν ἱερῶν ἀποστόλων / πρὸς Θεὸν κατευθυνόμεναι (lege κατευθυνοῦμεναι) πᾶσαι, / πᾶσιν (leg. πάσης) ὁδὸς / ἀπλανὴς ὁδηγίᾳ / τοῦ παναγίου γεγόνασι πνεύματος, / πορείας τε τοῦ δυσμενοῦς / παντελεῖ ἀφανείᾳ παρέπεμψαν.

---

123 Gen. 3,1; Is. 27,1; Eph. 6,12 129-130 I Thes. 5,5

διασῴζεται σκέπη
τῶν δυσχερῶν καὶ κινδύνων καὶ θλίψεων,
πανύμνητε, χριστιανῶν
ἀγαθὴ καὶ βεβαία ἀντίληψις.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Μαθητεύσασα Λόγῳ τῷ δι' ἡμᾶς
ἐκ παρθένου τεχθέντι δίχα φθορᾶς
τὴν τούτου θεότητα
τοῖς ἀθέοις ἐκήρυξας
5 καὶ πολλοὺς προσῆξας
αὐτῷ διὰ πίστεως,
ἱερῶν θαυμάτων
πολλαῖς ἐπιδείξεσιν·
ὅθεν, Μαριάμνη,
10 τὴν ἁγίαν σου μνήμην
τελοῦντες ἐν χάριτι,
τὰς ψυχὰς φωτιζόμεθα
καὶ συμφώνως βοῶμέν σοι·
πρέσβευε Χριστῷ τῷ Θεῷ
15 τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου.

ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

145 Νεκρωθέντας κακίᾳ
τοῦ ἐχθροῦ τοὺς ἀνθρώπους
Χριστόν, τὴν πάντων ζωήν,
κηρύττουσα, παρθένε,
ἐζώωσας καὶ μέλπειν

---

heirm. καθ. MR I, 68; idem κάθ., quod ante canonem praebet Pp Da, in Vm Bd desideratur 5-8 ἱερῶν θαυμάτων / πολλαῖς ἐπιδείξεσι / καὶ θεοσημίαις / τοῖς ἔργοις παρέσωσας Pp 6 αὐτῷ] θεῷ Da Lm 11 τελοῦντας Lm 14-17 orationem varie contrahunt cdd.

heirm. ζ' EE 224, n. 321, Joannis 147 τὴν τῶν ἁπάντων ζωὴν Da

150 εὐχαρίστως ἐπαίδευσας·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

Ἡ σεμνὴ Μαριάμνη,
ὡς σελήνη ἀστέρων
155 ἐν μέσῳ φαίνουσα
Φιλίππου καὶ τοῦ θείου
φαιδρῶς Βαρθολομαίου,
σκότος χρόνιον ἔλυσεν
πολυθεΐας, Χριστέ,
160 ἄχρονε Θεοῦ Λόγε.

Συντηροῦσα τοὺς νόμους
τοῦ δι' οἶκτον τεχθέντος
καὶ νόμους φύσεως
καινίσαντος, παρθένε,
f. 94 165 ‖ ἀνόμους εὐνομίαν
μελῳδοῦντας ἐδίδαξας·
« ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

θεοτ. Χαῖρε, μόνη τεκοῦσα
170 τὴν χαρὰν τῶν ἀγγέλων
καὶ τῶν ἀνθρώπων, ἁγνή·
μαρτύρων, Ἀποστόλων
τὸ καύχημα, καὶ πάντων
τῶν βοώντων διάσωσμα·
175 « ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ ».

---

150 πεπαίδευκας Vm 151-152, 167-168, 175-176 invocationem varie recidunt cdd. 154-155 ὡς σελήνη ἐν μέσῳ / ἀστέρων φαίνουσα Pp Bd Lm (φαίνουσα] φέρουσα Bd) 155 φαίνουσα] λάμπουσα Da 157 φαιδροῦ Da βαρθολομαίε Lm 158 ἔλυσαν Bd 159 χριστὸν Vm 159-160 ὁ τῶν πατέρων ἡμῶν / θεὸς εὐλογητὸς εἶ Da 160 σαφῶς θεολογοῦσα Vm 163 νόμου Ci 164 καινήσαντα Vm 165 ἀνόμου Ci 166 μελωδεῖν ἀνεδίδαξας Vm

---

154 Apoc. 12,1 162 Ex. 19,5

ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

Ἁγιωσύνης τέμενος
ἡ καρδία σου γέγονεν·
τὸν γὰρ ἁγιάζοντα Θεὸν τὰ σύμπαντα
180 ἐν γῇ βηματίζοντα
καὶ οὐρανοὺς δεικνύοντα
πίστει, Μαριάμνη, τοὺς συνόντας κατεῖδες·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
185 λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ῥῶσιν παθῶν, ἀοίδιμε,
καὶ δεινῶν ἀπολύτρωσιν
καὶ τῆς ἀθεΐας παντελῆ καθαίρεσιν,
190 τυφλοῖς τὴν ἀνάβλεψιν
καὶ εὐδρομίαν ὄντως χωλοῖς
πίστει ἐκβοῶσα τῷ Χριστῷ ἐπετέλεις·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
195 λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Ἱκετηρίαν ποίησον
πρὸς Χριστὸν τὸν Θεὸν ἡμῶν
ὑπὲρ τῶν πιστῶς ἐπιτελούντων, ἔνδοξε,
200 τὴν πάντιμον μνήμην σου
βαρβαρικῆς ἁλώσεως
καὶ πολυσχεδοῦς ἡμᾶς λυτρώσασθαι βλάβης
τοὺς πόθῳ μελῳδοῦντας·

---

heirm. η' EE 219, n. 314, Joannis 182 συνόντας] βοῶντας Vm Pp Bd Lm Da 183-186, 193-196, 204-206, 214-216 laudem varie praecidunt cdd. 189 κατάλυσιν Pp 199 ὑπὲρ τῶν πιτελούντων (sic) ἔνδοξε Lm 200 πάνσεπτον Vm 202 πολυσχιδοῦς ex correct. in Pp

---

190-191 Matth. 11,5

« ἱερεῖς ἀνυμνεῖτε,
205 λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Νυμφαγωγός σοι στέλλεται
οὐρανόθεν ἀρχάγγελος,
« χαῖρέ » σοι βοῶν, Θεοῦ παστὰς ὁλόφωτε,
210 νυμφὼν ἀκατάλυτε,
περιφανὲς παλάτιον,
θρόνε ὑψηλὲ τοῦ ὑψηλοῦ βασιλέως,
παρθένε, ᾧ βοῶμεν·
« ἱερεῖς ἀνυμνεῖτε,
215 λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἔφριξε / πᾶσα ἀκοὴ*

Ἰσχύν τε
καὶ καταφυγὴν
καὶ συλλήπτορα τὸν κύριον ἔχουσα,
220 τὸν τὴν ἀσθένειαν
ἐθελουσίως ἡμῶν φορέσαντα,
ἐν ἀσθενείᾳ γυναικῶν
ἀνδρείαν ἀνέλαβες
καὶ τὰς δυνάμεις ἐχθροῦ,
225 Μαριάμνη, παντελῶς ἐταπείνωσας.

Ὤφθητε
ζεῦγος ἱερόν,
Μαριάμνην ὥσπερ δάμαλιν ἄσπιλον
ἐπιφερόμενοι,
f. 94v 230 Βαρθολομαῖε ‖ καὶ θεῖε Φίλιππε,
καὶ χερσωθείσας μοχθηρῶς

204, 214 ἱερεῖς εὐλογεῖτε Pp Bd Lm 212 ὑψιλὲ Vm Lm
heirm. θ' EE 222, n. 317, Joannis 217 τὲ Vm Da 228 μαριάμνη Ci Bd δάμαλις Bd 231 καὶ χερσωμένας μοχθηρὰς Bd χερσωθεῖσαν Da

---

209 Luc. 1,28

ψυχὰς ἐνεώσατε,
καρποφορούσας αὐτὰς
συνεργείᾳ θεϊκῇ ἐτελέσατε.

235 Συμφώνως,
ἅπαντες, Θεῷ
χαριστήριον ᾠδὴν ἀναπέμψωμεν
τῷ ῥυσαμένῳ ἡμᾶς
τοῦ πάλαι σκότους τῆς ματαιότητος
240 ταῖς σελασφόροις διδαχαῖς
καὶ ταῖς παραινέσεσι
τῶν Ἀποστόλων αὐτοῦ
καὶ φωτίσαντι ἡμῶν τὰ νοήματα.

Ηὔγασας
245 πᾶσι φωτισμόν,
Μαριάμνη, καὶ πρὸς φῶς τὸ ἀνέσπερον
νῦν μεταβέβηκας·
χοροῖς ἀγγέλων συνεπαγάλλεσθαι
καὶ Ἀποστόλων ἱερῶν,
250 μεθ' ὧν ἡμῶν μνήσθητι
τῶν τὴν φωσφόρον σου
ἐκτελούντων ἐπὶ γῆς μνήμην πάντοτε.

θεοτ. Φάλαγγας
ὄλεσον ἐχθρῶν
255 Ἐκκλησίας τε τὰ σκάνδαλα, ἄχραντε,
ἐκ μέσου ποίησον,
παῦσον τοῦ πλάνου τὰ μηχανήματα,
νίκας παράσχου βασιλεῖ,
παρθένε, εἰδότι σε
260 Θεοῦ λοχεύτριαν,
μεσιτείᾳ σου, ἁγνὴ παναμώμητε.

---

233 καὶ καρποφόρους αὐτὰς Vm Pp Lm Da (αὐτοὺς Lm) 237 ἀναμέλψωμεν Bd 248 συνεπαγάλλεσαι ex correct. in Pp 252 πάντοτε] πάνσοφε Vm 254 ἐχθρῶν] ἐθνῶν Pp Bd Lm 259 παρθένον Lm Da 261 μεσιτείαις Pp

IN SANCTUM THEOSTERICTUM

Synaxarium, 470: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοστηρίκτου.

Sinait. gr. 602 = Σλ, ff. 84v-87v
Sinait. gr. 597 = Σ, ff. 151-154v
Crypt. Δ.α. XXI = Da, ff. 84-85v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Ὠιδαῖς Θεοστήρικτον ὑμνῶ τὸν μέγαν.

Ἦχος β'.

ᾠδὴ α'. *Ἐν βυθῷ κατέστρωσε ποτὲ*

Ὡς ἐν ὕψει θείων ἀρετῶν
ἀναβάσεις θέμενος
δι' ἐμμελοῦς, θεοφόρε, ἀσκήσεως,
πάτερ Θεοστήρικτε,
5 τὴν χαμαίζηλον ἁμαρτίαν κατέλιπες
καὶ τῆς ἄνω δόξης
ἔτυχες, ἐν ᾗ καὶ κατεσκήνωσας.

Μηνὶ τῷ αὐτῷ ιζ'. Τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ Τήρωνος καὶ τοῦ ὁσίου καὶ ὁμολογητοῦ Θεοστηρίκτου καὶ τῆς ἁγίας Μαριάμνης ἀδελφῆς τοῦ ἁγίου Ἀποστόλου Φιλίππου καὶ τοῦ ἁγίου ἱερομάρτυρος Πολυχρονίου... Τῇ αὐτῇ ἡμέρᾳ κανὼν εἰς τὸν ὅσιον πατέρα ἡμῶν Θεοστήρικτον φέρων ἀκροστιχίδα τήνδε· Ὠιδαῖς Θεοστήρικτον ὑμνῶ προφρόνως Σλ; e troparium litteris capitalibus vero haec acrostichis deducitur: Ὠιδαῖς Θεοστήρικτον ὑμνῶ τὸν μέγαν.

Μηνὶ τῷ αὐτῷ ιζ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοστηρίκτου... Ὁ κανὼν φέρων ἀκροστιχίδα... Σ

Μηνὶ τῷ αὐτῷ κη'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοστηρίκτου... Ὁ κανὼν φέρων ἀκροστιχίδα... Da

nomen Θεοφάνους in margine cd. Σλ legitur

heirm. α' EE 34, n. 46, Joannis

1-2 Ps. 83,5

Διασχίσας θάλασσαν παθῶν
ῥάβδῳ τῇ τῆς πίστεως,
10 ὡς Μωυσῆς τὸ ἐρυθραῖον πέλαγος,
λογισμοὺς κατέκλυσας,
ὡς ἐκεῖνος τοὺς Αἰγυπτίους, μακάριε,
καὶ δι' ἀπαθείας
ὥδευσας εἰς γῆν ἐπαγγελίας Θεοῦ.

15 Ἀνυστάκτῳ νοὸς ὀφθαλμῷ
τὸν τοῦ σκότους ἄρχοντα
καὶ τὰς αὐτοῦ δυνάμεις ἐδειγμάτισας
καὶ φῶς ἐχρημάτισας
καὶ ἡμέρας υἱὸς ἀναδέδειξαι
20 λάμψας ὡς φωσφόρος,
ὅσιε, τῇ αἴγλῃ τῶν θαυμάτων σου.

Ἰακὼβ τὸ ἄπλαστον ζηλῶν
f. 85 καὶ Ἰὼβ τὸ ‖ ἄμεμπτον
καὶ Ἰωσὴφ τὴν ἁγνὴν ἁγιότητα
25 τῆς Τριάδος γέγονας
ἐνδιαίτημα καὶ ναὸς ὤφθης πάναγνος,
τύπος μοναζόντων
βίου τε πιστῶν κανών, μακάριε.

θεοτ. Ὁ ἀμήτωρ ἄνω ἐκ πατρὸς
30 ὤφθη καὶ ἀπάτωρ
ἐκ μητρὸς δι' ἀρρήτου κενώσεως,
ἣν ὡς θεῖαν ἄγκυραν
ἐν πειρασμοῖς καὶ λιμένα κεκτήμεθα
καὶ πρὸς βασιλείαν
35 εἴσοδον καὶ τεῖχος ἀκατάσειστον.

---

12 τοὺς in Σλ in margine scriptum; idem om. Σ Da 19 ὡς post ἡμέρας add. Da 22-28 trop. deest in Σ Da 29-35 Da dissimile θεοτ. praebet inc. Ὑπερτέρα πέφηνας, ἁγνή, / πάσης ἀοράτου τε de quo cf. MR IV, 240

8-14 Ex. 14,15-31 19 I Thes. 5,5 32 Act. 27,29-30
34-35 II Petr. 1,11

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ ἐν θαλάσσῃ

Σταυρὸν ἐπ' ὤμων σου,
πάτερ, ἀράμενος
τῷ σὲ Χριστῷ καλοῦντι
ἐπηκολούθησας πόθῳ
40 καὶ ἀπολαύεις τρανῶς
τῶν ἐκεῖ αἰωνίων
πλουσίων θησαυρῶν,
ἀλλὰ τῆς ποίμνης σου ἀεὶ
προστατεύων μὴ παύσῃ
45 ῥυσθῆναι τῶν ὁρατῶν
καὶ τῶν νοουμένων ἐχθρῶν.

Θεῖον λειμῶνά σε,
πάτερ, ἐγνώκαμεν
ταῖς ἀρεταῖς ὡς ἄνθη
50 εὐωδιάζοντα κόσμον
καὶ προβαλλόμενον
εὐσεβείας ἱδρῶσιν
ἀσκήσεως καρπούς,
ἐξ ὧν τρυγῶντες δαψιλῶς
55 ἐμπιπλάμεθα πάντες
καὶ τῆς ἐν σοὶ ζωηρᾶς
πηγῆς ἀρυόμεθα.

Ἐπὶ τὴν ἄσειστον
πέτραν τῆς πίστεως
60 τοὺς τῆς ψυχῆς σου πόδας
ἐπιβιβάσας, θεόφρον,
ὤφθης ἀσάλευτος
καὶ τυράννους διώξας
κατέλαβες, σοφέ,
65 καὶ ὑπεσκέλισας αὐτῶν

Ode β' deest in Σ Da
heirm. β' EE 41, n. 55, Joannis

τὴν τῆς πλάνης μανίαν,
τὰς τρίβους δὲ τῆς ὀρθῆς
ὡμάλισας πίστεως.

θεοτ. Τῷ θείῳ τόκῳ σου,
70 δέσποινα πάναγνε,
f. 85v τὴν || ἐν ἐμοὶ φυεῖσαν
ἐκ παραβάσεως
ξύλου κατάραν ἔλυσας,
εὐλογίαν δὲ πᾶσι
75 πηγάσασα βροτοῖς
ζωῆς ἀπόλαυσιν ἡμῖν
ἐγκαινίζεις, παρθένε,
καὶ τὴν ἐκεῖ πρὸς Θεὸν
βασιλείας εἴσοδον.

ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*
ἐν σοί, κύριε,

80 Ὁ θεῖος ποταμὸς
ἐν τῇ καρδίᾳ σου
πηγάσας
κατέκλυσε τὰς αἱρέσεις
καὶ τοῖς πόνοις τῆς ἀσκήσεως
85 τῶν παθῶν τὰς ἐκχύσεις ἀπεξήρανεν.

Σβεστήριον παθῶν
τοὺς ὄμβρους, ὅσιε,
ἀπαύστως
κτησάμενος τῶν δακρύων
90 τὴν λαμπάδα τῆς ἀσκήσεως
τῷ πυρὶ τῆς ἀγάπης κατεφαίδρυνας.

Τῷ γάλακτι τραφείς,
σοφέ, τῆς πίστεως
μαζούς τε
95 θηλάσας τῆς ἐγκρατείας,

heirm. γ' EE 39, n. 53, Cosmae 86-91 trop. desideratur in Da

τοῖς ἱδρῶσι τῶν ἀγώνων σου
εἰς Χριστοῦ ἡλικίαν, πάτερ, ἔφθασας.

θεοτ. Σὺ ὤφθης γηγενῶν
λιμὴν καὶ ἄγκυρα
100 καὶ τεῖχος,
παρθένε θεοκυῆτορ,
περισῴζουσα δεινῶν συμφορῶν
καὶ παρέχουσα πᾶσιν εἰρηναίαν ζωήν.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοήν

Ἡ θεόφθογγος γλῶσσά σου
105 τῶν τοῦ Θεοῦ
λογίων πληρωθεῖσα
τῶν αἱρετιζόντων ἔφραξε στόματα.

Ῥεῖθρον βλύζων, θεόληπτε,
καθαρτικὸν
110 καρδίας παθημάτων
τῆς ψυχῆς μου ἴασαι τὰ νοσήματα.

Ἰωάννου τὴν ἔρημον
καὶ Ἠλιοὺ
f. 86 τὸν βί||ον, θεοφόρε,
115 καὶ Δαυῒδ τὸ πρᾶον ἐχαρακτήρισας.

θεοτ. * Τὴν πρεσβείαν σου, δέσποινα,
ὡς ἀσφαλῆ
κρηπῖδα κεκτημένοι
τῶν ποικίλων θλίψεων ἐκλυτρούμεθα.

heirm. δ' MR IV, 53 106 λογείων Σ 108 βλύζ[illegible] Da 109 καθαρτικῶν Σ 113 ἡλιοῦ cdd. 116-119 θεοτ. ETh, 1[illegible]

97 Eph. 4,13 112 Joh. 3,1-3 113-114 cf. III Regn. 17,1 e.s. 115 cf. I Regn. 16,12 e.s.

ᾠδὴ ε΄. *Ὁ τοῦ φωτὸς χορηγὸς*

120 Κόσμου προσπάθειαν
καὶ κοσμοκράτορα λιπών, ὅσιε,
τῆς νοητῆς
καὶ ὑπερκοσμίου
ἐδράξω χορείας
125 καὶ σὺν ἀσωμάτοις
ἀγάλλῃ, μακάριε.

Τῇ θείᾳ πίστει τὸν νοῦν
ἐστηριγμένος φερωνύμως ἔδειξας
τοὺς τὴν ὀρθὴν
130 τῆς ὁμολογίας
ὁδὸν ἀθετοῦντας
μηδαμῶς τὴν σάρκα
Χριστοῦ περιγράφοντας.

Ὅλος ἐξέστης Θεῷ
135 ταῖς ἀκοιμήτοις προσευχαῖς πάντοτε
ἐγκαρτερῶν·
διὸ καὶ τῆς θείας
καὶ τῆς ἀγγελικῆς
διαίτης καὶ δόξης
140 καὶ στάσεως ἔτυχες.

θεοτ. Αἰνοῦσι πᾶσαι βροτῶν
καὶ μεγαλύνουσι τὴν σήν, πάναγνε,
αἱ γενεαὶ
νηδὺν θεοδόχον,
145 ἐξ ἧς ὁ λυτρωτὴς
τῶν πεπεδημένων
ταῖς λύπαις γεγέννηται.

---

heirm. ε΄ EE 38, n. 51, Cosmae 120 προστάθειαν Σ 134 Ὅλως Σ
137 ταῖς θείαις Σ 138 ταῖς ἀγγελικαῖς Σ

ᾠδὴ ς΄. *Ἐν ἀβύσσῳ πταισμάτων*

Νοητῆς εὐωδίας θυμίαμα
τῇ τῶν ἀρετῶν ποικιλίᾳ συντέθεικας
150 ὀσμὴ ζωῆς γενόμενος
τοῖς τιμῶσί σε πίστει, μακάριε.

Ὑπὲρ πάσης τῆς πάλαι κακώσεως,
ἣν διὰ Χριστὸν καρτερήσας ὑπέμεινας,
τὴν τῶν νοσούντων εἴληφας
f. 86ᵛ ἐκ Θεοῦ, ‖ Θεοστήρικτε, ἴασιν.

156 Μοναστῶν ἐγκαλλώπισμα γέγονας
καὶ τῆς ἐγκρατείας κανὼν ἀπαρέγκλιτος
καὶ ὀρθοδόξων ἥδυσμα
καὶ τῆς ἄνω λαμπρότητος σύσκηνος.

θεοτ. 160 * Μὴ παρίδῃς ἡμῶν τὰς δεήσεις, ἁγνή,
τῶν εἰς σὲ θεμένων πᾶσαν τὴν ἐλπίδα ἀεί·
σὺ γὰρ εἶ καταφύγιον
ἀσφαλὲς καὶ ψυχῶν ἱλαστήριον.

ᾠδὴ ζ΄. *Εἰκόνος χρυσῆς*
ἐν πεδίῳ

Νικήσας παθῶν
165 τὰ σκιρτήματα, σοφέ, δι᾽ ἐγκρατείας,
τὸ τῶν ἐπάθλων στέφος εἴληφας

---

heirm. ς΄ EE 34, n. 46, Joannis 149 συντέθεικας | θεότητος Da
157 ἐγκρατείας] ἐκκλησίας Da ἀπαράκλητος Da 160-163 θεοτ. ETh, 181
160 Μὴ παρίδῃς, ἁγνή, τὰς δεήσεις ἡμῶν ETh Σ Da 161-162 τῶν εἰς σὲ θεμένων
τὰς ἐλπίδας δούλων σου· / καταφυγὴ γάρ, δέσποινα, / καὶ ψυχῶν ἱλαστήριον πέφυκας
ETh 161 πᾶσαν] πιστῶς Da, idem deest in Σλ
heirm. ζ΄ EE 39, n. 53, Cosmae trop. odis ζ΄ hoc ordine refert Σλ:
1,3,2,4 164 Οἰκήσας παθῶν Da

166-167 Jac. 1,12

παρὰ κυρίου, μακάριε,
καὶ εἰς τὴν αἰώνιον λῆξιν
στεφανηφόρος εἰσέδραμες·
170 « εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ὡς ὢν γεωργὸς
τοῦ ἀΰλου παραδείσου, Θεοστήρικτε,
ἐν γῇ πραέων κατεσκήνωσας
175 καὶ τῷ ἀρότρῳ τῶν λόγων σου
σπείρας τὴν ἐγκράτειαν, πάτερ,
ἐν τῇ καρδίᾳ τῆς ποίμνης σου
πολύχουν στάχυν τῆς ζωῆς
ἐκαρποφόρησας.

180 Τὰ πάθη Χριστοῦ
μιμησάμενος, σοφέ, ἀσχέτῳ ἔρωτι
ἀνεπαισχύντως καὶ τὰ στίγματα
ἐν τῇ σαρκί σου ἐβάστασας·
ὅθεν βασιλείας τῆς ἄνω
185 συγκοινωνὸς ὤφθης, ἔνδοξε·
« εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Μὴ παύσῃ, σεμνή,
δυσωποῦσα τὸν ἐκ σοῦ Θεὸν τεχθέντα
190 ὑπὲρ τῶν πίστει προστρεχόντων σοι
καὶ αἰτουμένων τὴν λύτρωσιν,
μόνη προστασία τοῦ κόσμου,
ἀπεγνωσμένων ἀντίληψις,
χειμαζομένων ἐν δεινοῖς
195 ἀεὶ βοήθεια.

169 ἀνέδραμες Da 170-171 post εὐλογητὸς cetera om. cdd. 174 κατεσκήνωσας τὴν πραέων γὴν Da v. 175 in Σλ in margine scriptus 177 ποίμνης σου] πίστεως Σ 180-187 trop. desideratur in Da 186-187 vv. om. Σ 189 δυσ. τὸν θεὸν ἐκ σοῦ τεχθ. Σ

182-183 Gal. 6,17

f. 87 ‖ ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ὃν εἶπε φόβον συλλαβὼν
Ἡσαΐας ἐν γαστρί, παμμάκαρ, ὤφθης
καὶ ὠδίνησας πνεῦμα
τῆς σωτηρίας Θεοῦ
200 κραυγάζων·
« ὑμνεῖτε τὸν κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Νενοσηκότα με ψυχῇ,
205 ὡς ὑπάρχων ἰατρὸς τῶν παθημάτων,
Θεοστήρικτε, σπεῦσον
καὶ ἰατήρ μου γενοῦ
ἀπαύστοις
πρὸς Θεὸν ἐντεύξεσιν,
210 ὅπως κατεχρέως
τιμῶ σε εἰς αἰῶνας.

Μαρτυρικῆς ἀξιωθεὶς
ἄνευ μώλωπος τιμῆς, θεόφρον πάτερ,
τὸ βραβεῖον ἐδέξω
215 καὶ ἀμοιβὰς ἐκ Θεοῦ
κραυγάζων·
« ὑμνεῖτε τὸν κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. 220 Τὸν ἐκ πατρὸς ἄνευ μητρὸς
γεννηθέντα πρὸ αἰώνων θεῖον Λόγον,
ἐπ' ἐσχάτων τεχθέντα

heirm. η' EE 35, n. 47, Joannis 201-203, 217-219 orationem varie contrahunt cdd. 204 ψυχὴν Da 207 μου] μοι Da 208 ἀπαύστως Σ 211 σὲ τιμῶ εἰς αἰ. Σ γεραίρω σου τὴν μνήμην Da 217 τὸν κύριον] τὰ ἔργα Σ 221 γεννηθέντα θεὸν λόγον πρὸ αἰώνων Da

196-197 Is. 2,10 214 I Cor. 9,24

ἄνευ πατρὸς ἐκ μητρὸς
ἀσπόρως,
225 ἐκ σοῦ, ἀειπάρθενε,
ἕνα τῆς Τριάδος
ὡς Θεὸν δοξολογοῦμεν.

ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Ἐν τῇ γαλήνῃ τῇ ἄνω
τοῦ λιμένος, παμμάκαρ,
230 προσορμισθεὶς ἐκ ζάλης νοητῆς
δόξης Θεοῦ ἀπολαύεις τρανῶς
καὶ πρεσβεύεις ἀπαύστως,
ὡς παρρησίαν ἔχων πρὸς αὐτόν,
τρικυμίας ῥυσθῆναι
235 τῆς τῶν παθῶν τὴν ποίμνην σου.

Γῆν παροικήσας, ὡς ἄλλος
Ἀβραάμ, ἀλλοτρίαν
πρὸς γῆν μεταναστεύεις μυστικὴν
καὶ ὡς υἱὸν τὴν καρδίαν σου
240 Ἰσαὰκ θυσιάσας
φίλος ἐκλήθης ὄντως τοῦ Χριστοῦ,
ἀλλὰ πρόστηθι πάντων,
f. 87v παμμάκαρ, || τῶν τιμώντων σε.

Ἀποταξάμενος πάσῃ
245 ματαιότητι βίου
Θεῷ προσῳκειώθης ἀληθῶς
δι' ἐγκρατείας, πανόσιε,

227 ὡς θεόν ἀνυμνοῦμεν Da
heirm. θ' EE 34, n. 46, Joannis 230 πρὸσωρμίσθης Da νοητῆς] κοσμικῆς Σ 235 τὴν ποίμνην σου] συγχύσεως Da 237 ἀλλοτρίων Σ 241 φίλος κληθεὶς τῇ πίστει τοῦ χριστοῦ Da ὄντως in Σλ in margine scriptum ὄντως] πίστει Σ 244 πᾶσαν Σλ Da 245 ματαιότητα Σλ Da 246 προσοικειώθης Σ Da 247 πανόσιε] πανόλβιε Σ

233 Philem. 8 236-241 Jac. 2,21-23; Gen. 22,1-13 244-245 Luc. 14,33

καὶ ποιμὴν ἀνεδείχθης
καὶ ἀγελάρχης ποίμνης λογικῆς,
250 ἣν πρεσβείαις σου σῷζε
ἐκ πάσης περιστάσεως.

Νῦν ἀπὸ δόξης εἰς δόξαν
μετελθών, θεομάκαρ,
τῆς ἀκηράτου δόξης τῆς ἐκεῖ
255 ἐναπολαύεις τρανότατα·
τὴν γὰρ θείαν λαμπάδα
τῆς εὐποιΐας ἄσβεστον λαβὼν
εἰς τὴν ἄνω παστάδα
τῆς βασιλείας ἔφθασας.

θεοτ. 260 Νεῦσον καὶ δέχου δεήσεις
ἱκετῶν, παναγία,
τῶν ἐκ θερμῆς αἰτούντων σε ψυχῆς
καὶ τῷ υἱῷ σου προσάγαγε·
μητρικαῖς γὰρ πρεσβείαις
265 ταῖς εἰς αὐτὸν προσέχων εὐμενῶς
ἐπικάμπτεται, μόνος
ὑπάρχων εὐδιάλλακτος.

252-259 trop. deest in Da 254 τῆς ἐκεῖ] τοῦ χριστοῦ Σ 262 σε] σοι Da 265 εὐμενῶς] ἐμμενῶς Σ

19 FEBR. *CANON* XXIII

IN SS. MAXIMUM, THEODOTUM ET ASCLEPIODOTAM

Synaxarium, 475: Ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Μαξίμου, Θεοδότου καὶ Ἀσκληπιοδότης. Οὗτοι παραστάντες τῷ ἄρχοντι καὶ μὴ πεισθέντες, πολλαῖς αἰκίαις ὑπεβλήθησαν βασάνων, πρότερον μὲν ἐπὶ ξύλου ἀναρτηθέντες καὶ ξεσθέντες σιδηροῖς ὄνυξιν· εἶτα ἐκ πόλεως εἰς πόλιν μεταφερόμενοι θηρίοις ὠμοτάτοις ἐκδίδονται. Ἡ δὲ Ἀσκληπιοδότη πτερνισθεῖσα καὶ ἐπὶ ξύλου τανυθεῖσα καὶ ταύρῳ προσδεθεῖσα ὑπεράνω τῶν βασάνων ἐγένετο. Ὅθεν ἀμφότεροι λίθοις βάλλονται καὶ ἐν ἀλσώδεσι τόποις συρέντες ὑπὸ τοῦ ξίφους τέμνονται τοὺς αὐχένας.

Crypt. Δ.α. XVI	= Ci,	ff. 98v-103
Paris. gr. 13	= Q,	ff. 259v-260
Reg. gr. 54	= Lm,	ff. 69-69v
Sinait. gr. 602	= Σλ,	ff. 99-101v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Σεπτοῖς ἀθληταῖς τερπνὸν ἐξᾴδω μέλος. Ἰωσήφ.

Ἦχος δ'.

ᾠδὴ α'. *Τριστάτας κραταιοὺς*

Συνόντες τῷ Χριστῷ
καὶ ταῖς θείαις ἀκτῖσι
πυρσευόμενοι ἀεί,

Μηνὶ Φεβρουαρίῳ ιθ'. Τῶν ἁγίων μαρτύρων Μαξίμου, Θεοδότου καὶ Ἀσκληπιοδότης καὶ τοῦ ἁγίου ἀποστόλου Ἀρχίππου Ci; ipse cd. duos canones, alternatis odis, praebet: Ὁ κανὼν τῶν μαρτύρων φέρων ἀκροστιχίδα· Σεπτοῖς ἀθληταῖς τερπνὸν ἐξᾴδω μέλος, quem huc referimus; Ἕτερος κανὼν τοῦ ἁγίου Ἀρχίππου φέρων ἀκροστιχίδα· Ἄρχιππον ὑμνῶ τὸν σοφὸν θεηγόρον. ⟨Ἰωσήφ⟩, inc. Ἀστράψας τῷ φωτισμῷ τῆς χάριτος..., cf. MR III, 618; Ὁ κανών, οὗ ἡ ἀκροστιχίς· Σεπτοῖς ἀθληταῖς τερπνὸν ἐξάδω μέλος. Ἰωσήφ Q; Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Σεπτοῖς ἀθληταῖς τερπνὸν ἐξᾴδω μέλος Lm; Ἕτερος κανὼν τῶν ἁγίων μαρτύρων Μαξίμου, Θεοδότου καὶ Ἀσκληπιοδότης Σλ - Nomen Ἰωσήφ in margine cdd. Ci Q Σλ legitur; idem om. Lm.

heirm. α' EE 95, n. 135, Joannis

γενναῖοι ἀθληταί,
5 τοὺς ὑμᾶς μακαρίζοντας
λάμψεσι ταῖς ἀνεσπέροις
καταυγάσατε χάριτι,
τῶν δεινῶν τὴν ἀχλὺν ἀπελαύνοντες.

Ἐντύχετε ζωῆς
10 αἰωνίου καὶ θείας
ἠξιώθητε τρυφῆς
τὰ πρόσκαιρα σαφῶς
βδελυξάμενοι, μάρτυρες,
καὶ τῆς εἰδωλομανίας
15 τὸν κρυμὸν διελύσατε
ταῖς θερμαῖς πρὸς Χριστὸν ἀνανεύσεσιν.

Πατρίδα ἑαυτοῖς
ἐπιγράφοντες πίστει
τὴν Σιὼν τὴν νοητήν,
20 τῆς κάτω καὶ φθαρτῆς
ἠλογήσατε φέροντες,
μάρτυρες, σταυρὸν ἐπ' ὤμων
καὶ τῆς πλάνης τὸ φρύαγμα
συμπατοῦντες ψυχῆς γενναιότητι.

f. 99 ‖ Τῷ πόθῳ τοῦ Χριστοῦ
26 συνεδήσατε πίστει
τὰς ψυχὰς χαρμονικῶς
καὶ σάρκα προφανῶς
ἐμισήσατε, μάρτυρες·
30 ὅθεν πρὸς βιαιοτάτους
αἰκισμοὺς ἐχωρήσατε
καταπλήττοντες πᾶσαν διάνοιαν.

θεοτ. Ὁ Λόγος τοῦ Θεοῦ,
ὁ τὸ πᾶν οὐσιώσας,

9-16 trop. deest in Σλ 9 Ἐτύχετε Q Ἐτύχεται Lm 16 Χριστὸν] θεὸν Lm 17-24 trop. deest in Lm 25-32 trop. deest in Q 30 βεβαιωτάτους Lm

28-29 Eph. 5,29

35 οὐσιώθη ἐκ τῶν σῶν
αἱμάτων ἀληθῶς
καὶ βροτὸς ἐχρημάτισεν
μείνας ὅπερ προϋπῆρχεν,
ἀπαθὴς τῇ θεότητι,
40 εἰ καὶ πάθη ὑπέστη, πανάμωμε.

ᾠδὴ γʹ. *Ὅτι στεῖρα ἔτεκεν*

Ἰησοῦ τὴν σάρκωσιν
ὁμολογῶν πρὸ βημάτων,
f. 99v ἀνη||λεῶς αἰκίαις
καθυπεβλήθης, ἐκβοῶν
45 μεγαλοφώνως, Μάξιμε
μακάριε·
« ἅγιος εἶ, κύριε ».

Σταλαγμοῖς αἱμάτων σου
πῦρ ἀθεΐας ἐσβέσθη
50 καὶ ὀχετοὶ κακίας
ἀπεξηράνθησαν, σοφέ,
καὶ τῶν πιστῶν διάνοιαι
ἠρδεύθησαν,
Μάξιμε πολύαθλε.

55 Ἀναιδῶς ὁ τύραννος
τὸ εὐγενὲς τῆς ψυχῆς σου
ἀποσυλῆσαι σπεύδει
τῆς πρὸς Θεὸν ἀληθινῆς
λατρείας, μάρτυς Μάξιμε,
60 ἀλλ' ὤφλησεν
γέλων ὁ παμπόνηρος.

---

37 ἐχρημάτισας Ci 39 ἀπαθῆ Ci
heirm. γʹ EE 97, n. 138, Joannis 50 ὀχετοῖς Ci 51 σοφὲ] ἐχθρῶν Q 52 διανοῖαι Ci διάνοια Lm 57 συλῆσαι in margine cd. Ci scriptum σπεύδων Ci Σλ 60 ἀλλ' ἐδείχθη Σλ 61 γέλωτα ὁ δείλαιος Q γέλως Ci Σλ γέλος Lm

---

41-61 cf. Latyšev, *Menologii*, I, 107

θεοτ. Θεομῆτορ πάναγνε,
τῶν ἀθλοφόρων τὸ κλέος,
ἡ ἀληθὴς καὶ μόνη
65 καταφυγὴ χριστιανῶν,
τοὺς ἐπὶ σοὶ ἐλπίζοντας
περίσῳζε
πάσης περιστάσεως.

f. 100 ᾠδὴ δʹ. *Δι' ἀγάπησιν, οἰκτῖρμον,*

Λόγοις θείοις τῷ δικάζοντι θαρσαλέως
70 ἡ Ἀσκληπιοδότη
ἀντετάξατο· ὅθεν
μάστιγας ὑπέμεινεν
Χριστὸν μεγαλύνουσα.

Ἡ πανεύφημος εὐτόνως πτερνιζομένη
75 τὸν πτερνιστὴν τῆς Εὔας
κατεπάτησεν ὄφιν
καὶ πρὸς τὸν παράδεισον
εἰσῆλθε χορεύουσα.

Τὸν ἐν ξύλῳ ἐκμιμούμενος τανυθέντα
80 ἀνηλεῶς τῷ ξύλῳ
προσεδέθης, τὰς σάρκας
ὄνυξι ξεόμενος,
παμμάκαρ Θεόδοτε.

Ἀπαράτρωτοι ἐδείχθητε ταῖς βασάνοις
85 καὶ δυσμενεῖς ἀσάρκους,
ἀθλοφόροι γενναῖοι,
βέλεσιν ἐτρώσατε
ἀνδρείας ἐν πνεύματι.

---

heirm. δʹ EE 97, n. 138, Joannis 69 θαρσαλαίως Ci Lm 74-78 trop. desideratur in Σλ 74 περιζομένη Lm 84-88 trop. deest in Q Lm

---

69-73 cf. Latyšev, *o.c.*, 107-108
79-83 cf. Latyšev, *o.c.*, 108

θεοτ. Ἱερώτατος χορός σε προκαταγγέλλει
90 τῶν προφητῶν μητέρα
ἐσομένην τοῦ Λόγου·
ὅθεν λόγοις, ἄχραντε,
σεπτοῖς σε γεραίρομεν.

f. 100ᵛ ᾠδὴ ε'. *Σύ, κύριε μου, φῶς*
εἰς τὸν κόσμον

Σῷ σθένει, κραταιέ,
95 οἱ σοφοὶ κραταιούμενοι
διέλυσαν τοῦ δολίου
δυσσεβέστατον κράτος,
ἀθλοῦντες καρτερώτατα.

Τὰ στίγματα Χριστοῦ
100 τῇ σαρκὶ περιφέροντες
ἐκ πόλεως ἐπὶ πόλιν
προσταγαῖς τοῦ τυράννου
ἐφέρεσθε, μακάριοι.

Ἐνεύρου Ἰησοῦς
105 τοὺς οἰκείους θεράποντας
τοῖς τραύμασι δεχομένους
ἀνηκέστους βασάνους
καὶ πλάνην τραυματίζοντας.

θεοτ. * Ῥομφαίᾳ ἡδονῆς
110 τὴν ψυχὴν τετραυμάτισμαι,
ὦ δέσποινα, ἴασαί με,
ἰατρὸν καὶ σωτῆρα
Χριστὸν ἀποκυήσασα.

---

heirm. ε' EE 94, n. 133, Joannis 103 ἐκφέρεσθαι Lm 107 ἀνεικέστοις βασάνοις Ci ἀνεικέστους βασ. Lm Σλ 108 πλάνης Ci 109-113 θεοτ. PID, πε'

99-103 cf. LATYŠEV, *o.c.*, 108-109, 110

---

99 Gal. 6,17

ᾠδὴ ς'. *Ἐβόησε*
προτυπῶν τὴν ταφὴν

Πρὸς κύριον
115 ἐν σταδίῳ θηρσὶ προσπαλαίοντες
ἀνεβόουν
ἐκ καρδίας οἱ ἔνδοξοι μάρτυρες·
f. 101 || « τοὺς σοὺς δούλους, Λόγε,
κραταιᾷ σου χειρὶ διαφύλαξον ».

120 Νευρούμενος
θείῳ σθένει, ἀοίδιμε Μάξιμε,
τῶν θηρίων
τῶν ἀγρίων ὁρμὰς ἐχαλίνωσας,
Δανιὴλ ὡς πάλαι,
125 καὶ τῆς τούτων ἐρρύσθης κακώσεως.

Ὁ πάνσοφος
προσδεθεὶς ἐπὶ ξύλου Θεόδοτος
αἱμοβόροις
παρεδόθη θηρσὶ μὴ πτοούμενος·
130 τὸν γὰρ ἐπὶ ξύλου
τανυθέντα Χριστὸν ἐπεκέκλητο.

θεοτ. Νοσοῦσάν μου
τὴν ψυχὴν ἁμαρτίαις θεράπευσον,
παναγία,
135 θεοτόκε παρθένε θεόνυμφε,
ἵνα σε δοξάζω
τὴν δεδοξασμένην καὶ πανάμωμον.

---

heirm. ς' EE 125, n. 172 116 ἀνεβόων Q Lm Σλ 117 ἔνδοξοι] ἅγιοι Q

120-125 cf. LATYŠEV, *o.c.*, 109
126-131 cf. LATYŠEV, *o.c.*, 109

---

124 Dan. 6,16-22

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Τριάδα ἀμέριστον καὶ ὁμοούσιον,
οἱ τρεῖς, καταγγέλλοντες
πολυθεΐας πυρὰν
f. 101v τοῖς ὄμβροις ‖ ἐσβέσατε,
5 μάρτυρες, τῶν ἀδίκως
ἐκχυθέντων αἱμάτων·
ὅθεν τρυφῆς χειμάρρουν
ἐκληρώσασθε, πᾶσιν
αἰτούμενοι δοθῆναι, σοφοί,
10 χάριν καὶ ἔλεος.

ᾠδὴ ζ'. *Νέοι τρεῖς ἐν Βαβυλῶνι*

Ἔχουσα ὃν ἡ παρθένος
δάμαλις μόσχον σαρκὶ
140 ἀσπόρως ἐκύησεν,
Ἀσκληπιοδότη, νυμφίον,
ἀγρίου ταύρου
ἔφερες τὰς ὁρμὰς γενναιότατα.

Ξένον θαῦμα καθορῶντες,
145 ἄθλησιν τῶν εὐσεβῶν,
οἱ δυσσεβεῖς αἴσθησιν
ἔλαβον οὐδόλως· ταῖς πρώην
βασάνοις ὅθεν
πλείονας ἐννοεῖν οὐκ ἐπαύοντο.

---

heirm. καθ. MR II, 80; ipsum κάθ. in Q post odem γ' et in Σλ ante canonem invenimus   9-10 αἰτ. δοθ. ἱλασμὸν ἡμῖν καὶ ἔλεος Q

In Q post odem ς' legitur: Μηνὶ τῷ αὐτῷ ιθ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Μαξίμου, Θεοδότου καὶ Ἀσκληπιοδότης. Οὗτοι παραστάντες τῷ ἄρχοντι ... (idem in cd. Lm habeas, cf. Synax. Eccl. CP., 475) Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου Μάρη. Οὗτος γέγονεν ἐκ πόλεως Κύρου ..., cf. Synax. Eccl. CP., 475.

heirm. ζ' EE 96, n. 135, Joannis   140 ἐκύησας Ci

138-143 cf. LATYŠEV, *o.c.*, 109-110
147-149 cf. LATYŠEV, *o.c.*, 109[5-6]

150 Ἄνω πρὸς τὸν στεφοδότην
ἔχοντες τὸν λογισμόν,
καλλίνικοι μάρτυρες,
λίθοις τε βαλλόμενοι ἅμα,
τῇ καρτερίᾳ
155 στέφος νικητικὸν ἀνεδήσασθε.

Δῆμος ἄνωθεν ἀγγέλων
ἐθαύμασε καθορῶν
ὑμῶν τὰ παλαίσματα
καὶ πρὸς τὰ δεινὰ καρτερίαν
160 καὶ τὸν διδοῦντα,
μάρτυρες, τὴν ἰσχὺν Θεὸν ᾔνεσεν.

θεοτ. Ὤρθωσας τὴν πεπτωκυῖαν,
ἄχραντε, φύσιν βροτῶν,
Θεὸν σωματώσασα·
165 τοῦτον ὡς υἱόν σου δυσώπει
κινδύνων σῶσαι,
ἄχραντε, τοὺς εἰς σὲ καταφεύγοντας.

f. 102 ᾠδὴ η'. *Λυτρωτὰ τοῦ παντὸς*

Μετὰ πάσας αἰκίας τοῦ σώματος,
μετὰ πόνους μυρίους, μακάριοι,
170 ξίφει καθυπεκλίνατε
τοὺς αὐχένας καὶ νίκης
στέφος λαβόντες
νοητὰ πρὸς βασίλεια ἤχθητε.

Ἐν ἀλσώδεσι τόποις πηγάζουσιν
175 ἀφθονίαν ὑδάτων ἐδέξασθε
τὸ θεῖον τέλος, μάρτυρες,

150-155 trop. deest in Lm Σλ   157 ἐθαύμασαν Lm   160 διδόντα Q Lm Σλ   162 Ὄρθωσας Q Lm   165 τοῦτον οὖν ἱκέτευε πάντας Lm   166 σωθῆναι Q

heirm. η' EE 96, n. 135, Joannis   168-173 trop. deest in Lm   168 πάσης Ci   174-179 trop. om. Σλ

168-179 cf. LATYŠEV, *o.c.*, 110

καὶ τοῖς ῥείθροις τοῦ αἵματος
ἰαμάτων
ποταμοὺς παραδόξως ἐβλύσατε.

180 Λόγοις θείοις αἰνέσωμεν Μάξιμον
εὐφημοῦντες τὸν θεῖον Θεόδοτον
ὡς ἀληθείας μάρτυρας
καὶ πιστῶς μελῳδοῦντας·
« πάντα τὰ ἔργα,
185 εὐλογεῖτε, ὑμνεῖτε τὸν κύριον ».

Οὐρανοῦ νοητοῦ ἄστρα ὤφθητε
ἀστραπαῖς τῶν ἀγώνων τὰ πέρατα
φωταγωγοῦντες, μάρτυρες,
καὶ πιστῶς μελῳδοῦντες·
190 « πάντα τὰ ἔργα,
εὐλογεῖτε, ὑμνεῖτε τὸν κύριον ».

θεοτ. Σαρκωθεὶς ἐκ γαστρός σου ὁ κύριος
κυριεύει, παρθένε, τῆς κτίσεως
καὶ σὲ κυρίαν δείκνυσιν
195 ὁρατῶν τε ἁπάντων
καὶ ἀοράτων,
ὡς μητέρα δοξάζων ἀμώμητον.

f. 102v ᾠδὴ θ'. *Εὔα μὲν τῷ τῆς παρακοῆς*

Ἰχῶρες ὑμῶν μαρτυρικοὶ
πηγάζουσιν ἰαμάτων
200 μύρα πάντοτε,
κόνις βραχεῖα ἀπελαύνει
δαιμόνων πονηρότατον στράτευμα

---

182 μάρτυρα Ci Lm Σλ 183 μελῳδοῦντι Ci μελῳδοῦντα Lm μελῳδοῦντες Σλ 184-185, 190-191 cdd. varie contrahunt orationem 187 πέρατα] θαύματα Ci ἔπαθλα Lm 188 μάρτυρες] σήμερον Lm 189 μελῳδοῦντας Q μελῳδοῦντα Lm
heirm. θ' EE 98, n. 139, Joannis et Stefani 198 ἡμῖν Q Σλ

---

186 Hebr. 11,12

καὶ πάθη θεραπεύει ἀνίατα
τῇ συνεργείᾳ θείου πνεύματος.

205 Ὡς θύματα τέλεια Χριστῷ,
μακάριοι, τῷ τυθέντι
προσηνέχθητε
καὶ τῶν μαρτύρων ταῖς ἀγέλαις
λαμπρῶς συνηριθμήθητε, μάρτυρες,
210 καὶ θείαν Ἐκκλησίαν γηθόμενοι
τῶν πρωτοτόκων ἐφαιδρύνατε.

Συμφώνως, πιστοί, πανευλαβῶς
Θεόδοτον συνελθόντες
εὐφημήσωμεν
215 Μάξιμόν τε τὸν θεηγόρον
καὶ Ἀσκληπιοδότην τὴν ἔνδοξον,
Τριάδος τῆς ἁγίας τοὺς μάρτυρας
γενναιοφρόνως ἐναθλήσαντας.

Ἡ γῆ μὲν τὰ αἵματα ὑμῶν
220 ἐδέξατο, οὐρανὸς δὲ
θεῖα πνεύματα,
ἔνθα τῷ θρόνῳ τοῦ δεσπότου
f. 103 φαι||δροὶ νῦν παριστάμενοι, ἅγιοι,
αἰτεῖσθε τοὺς ὑμᾶς μακαρίζοντας
225 πάσης ῥυσθῆναι περιστάσεως.

θεοτ. * Φθορὰν μὴ γνωρίσασα ἀνδρὸς
τὸν ἄφθαρτον ἐν νηδύϊ
ὑποδέδεξαι
Λόγον, ἡμᾶς καταφθαρέντας
230 ῥυόμενον πολλοῖς πλημμελήμασιν
τῷ πάθει τῆς ἀφθάρτου σαρκὸς αὐτοῦ,
ἄφθορε μόνη παναμώμητε.

206-207 προσήχθητε τῷ τυθέντι / ὥσπερ πρόβατον Σλ 212 π[ανε]υλαβῶς] καὶ εὐλαβῶς Q 216 ἔνδοξον] ἔνθεον Q Σλ 226-232 [illegible] MR VI, 461 cf. atque PG 105, 1173 230 πλημμελήμασιν] παραπτώ[illegible] MR PG 231 ἀφθάρτου] ἀχράντου Σλ

20 FEBR. *CANON* XXIV

IN SANCTUM LEONEM EPISCOPUM CATANIAE

Synaxarium, 479: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Λέοντος ἐπισκόπου Κατάνης. Οὗτος ὁ ἅγιος ἐκ Ῥαβέννης εἷλκε τὸ γένος, εὐγενῶν καὶ θεοσεβῶν γονέων ὑπάρχων γέννημα. Διὰ δὲ βίου ἐπιμέλειαν καὶ λογισμῶν καθαρότητα πάντας τοὺς ἱεροὺς βαθμοὺς ἐννόμως διαμείψας, θείᾳ ψήφῳ πρόεδρος τῆς Καταναίων μητροπόλεως ἀναδείκνυται..... ἐν ᾗ καὶ τὸ Αἰτναῖον πῦρ εἰσέτι καὶ νῦν καταρρεῖ. Οὗτος οὖν φερωνύμως ὡς λέων πεποιθὼς καὶ φωστῆρος δίκην διαλάμπων κατεφώτιζεν ἅπαντας, ψυχῶν ἐπιμελούμενος, χηρῶν ἀντιλαμβανόμενος καὶ πενήτων προμηθούμενος. Ὅθεν διὰ μόνης προσευχῆς εἰδωλικὸν ἄγαλμα εἰς γῆν κατέρρηξε καὶ μέγιστον τῆς καλλινίκου μάρτυρος Λουκίας ναὸν τοῖς αὐτοῦ φιλοτεχνήμασιν ἀνεστήσατο, καὶ τὸν ⟨ἐν⟩ μαγγανείαις τερατοποιὸν Ἡλιόδωρον ἀπετέφρωσε..... σπουδῇ τοῦτον χειρωσάμενος ὁ μακάριος..... κελεύει γενέσθαι μεγίστην πυρκαϊὰν μέσον τῆς πόλεως· καὶ δημοσιεύσας αὐτοῦ πᾶσαν μαγγανείαν καὶ δεδεμένον ἔχων τῷ τραχήλῳ, εἰσῆλθε μέσον τῆς καμίνου καὶ οὐ πρότερον ἐξῆλθε, μέχρις ὅτου εἰς τέλος ἀπετεφρώθη ὁ δείλαιος. Τοῦτο ἐξέστησεν ἅπαντας· οὐ μόνον γὰρ ἄφλεκτος διέμεινεν ὁ μέγας, ἀλλ' οὐδὲ τῶν ἱερῶν ἐνδυμάτων αὐτοῦ ἡ φλὸξ καθήψατο. Τούτου τοῦ θαύματος τὰ πέρατα καταλαβόντος, καὶ αὐτοκράτορες Λέων καὶ Κωνσταστῖνος κατήκοοι γεγονότες, τοῦτον πρὸς ἑαυτοὺς μετεστείλαντο καὶ τῶν ποδῶν αὐτοῦ ἅπτονται καὶ εὔχεσθαι ὑπὲρ αὐτῶν ἐξελιπάρουν. Οὗτος οὐ μόνον ζῶν μέγιστος ἦν ἐν τοῖς θαύμασιν, ἀλλὰ καὶ τῇ γῇ παραδοθεὶς πλείονα ἐκτελεῖ θαυμάσια.

Crypt. Δ.α. XVI	= Ci,	ff. 104ᵛ-110
Sinait. gr. 602	= Σλ,	ff. 111-112

cd. Ci, alternatis odis, duos canones praebet: prior· quem huc referimus, alter: Ἕτερος κανὼν τοῦ ἁγίου Λέοντος φέρων ἀκροστιχίδα· Λέοντα πηγὴν ὄντα θαυμάτων σέβω. Ὁ Ἰωσήφ, inc. Λαμπτῆρά σε θεῖον, cf. MR III, 623; nomen Θεοφάνους, auctoris prioris canonis, in margine sinistro cd. Ci legitur; canonem mutilum praebet Σλ

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ἀρητῆρα Λέοντα Θεοῦ μελέεσσιν ἀείδω.
⟨Ποίημα⟩ Θεοφάνους.

Ἦχος δ'.

ᾠδὴ α'. *Ὅτι*
ἐπτωχεύσαμεν σφόδρα,
f. 105 *εἰσάγαγε ἡμᾶς εἰς ὄρος* || *κληρονομίας σου,*
εἰς ἕτοιμον κατοικητήριόν σου,
5 *ὃ κατειργάσω, κύριε,*
διὰ τὸ ὄνομά σου τὸ ἅγιον,
ὃ κεκλήμεθα.

Ἄνω
λειτουργοῖς τοῖς ἀΰλοις
συνὼν ἐν οὐρανοῖς θεόθεν, Λέων πανίερε,
τὴν ἔφεσιν τῶν ἐπταισμένων ἡμῖν
5 τοῖς συνελθοῦσι σήμερον
ἐπὶ τῇ θείᾳ μνήμῃ σου ἅπασιν,
πάτερ, αἴτησαι.

Ῥώμῃ
κρατυνθεὶς ὑπερτάτῳ
10 ἐκ βρέφους τὴν ψυχὴν Θεῷ σαυτὸν ἀνατέθηκας,
ἀρίστῳ δὲ βίῳ λόγῳ πάλιν
πνευματικῶς αὐξούμενος,
τῆς ἐκλογῆς ἐδείχθης, θεσπέσιε,
σκεῦος εὔχρηστον.

15 Ἤρθης
ἀρετῶν πρὸς τὸ ὕψος,
Ἠλίας ὡς τὸ πρὶν ὁ διφρελάτης, μετέωρος·
τὴν πρᾶξιν γὰρ τῆς θεωρίας ὄντως
εὕρηκας σὺ ἐπίβασιν

---

heirm. odis α' ineditus videtur, vv. 1-127 desiderantur in Σλ

---

10 Lev. 27,28 17 IV Regn. 2,11

20 καὶ διὰ τοῦτο ἄλλος ἐν σώματι
ὤφθης ἄγγελος.

Τάφος
κἂν κατέχῃ τὸ σῶμά σου
οἷάπερ θνητόν, ἀλλὰ πηγὴ διαδείκνυται
25 ζωόδωρος, βρύων ἀφθόνως ἅπασι
ποταμηδὸν τὸν ἔλαιον,
ἐξ οὗ μεταλειφότες ῥωννύμεθα,
ἱερώτατε.

θεοτ. Τίς σου
30 μὴ θαυμάσῃ, παρθένε,
τοῦ ξένου τοκετοῦ τὸ ὑπὲρ φύσιν μυστήριον;
καθόλου γὰρ μὴ παραθεῖσα μόνη
λέχους ἀνδρὸς συνέλευσιν,
ἐγκυμονεῖς καὶ τίκτεις τὸν τὰ σύμπαντα
35 περιέποντα.

f. 105v ᾠδὴ γ'. *Οὐρανοὺς καὶ τὴν ἄβυσσον*
ἀρετῇ τῆς σοφίας σου
ἀσχέτως ἐθεμελίωσας·
διὸ τὸ κατ' εἰκόνα
5 *ἀχρειωθὲν καινοποίησον,*
ἵνα μέλπωμεν ἐν τῷ συνιεῖν
καὶ γινώσκειν σε·
« ἡ σωτηρία σου ἡμῖν
ἀντελάβετο, κύριε ».

Ἡ τοῦ κρείττονος ἔφεσις
σὲ δοχεῖον τῆς χάριτος
⟨ἀνέδειξεν⟩ ἀκηλίδωτον·

heirm. γ' ineditus videtur 38 ἀνέδειξεν ipse scripsi, in cd. Ci quattuor syllabae desiderantur

22-28 cf. LATYŠEV, *Menologii*, I, 112[32-35]
36-44 cf. LATYŠEV, *o.c.*, 111-112

διὸ ἐκ τῆς Ῥαβέννης
40 πρὸς τῇ Κατάνῃ ὡς ἄξιος,
Λέων πάγκλυτε, ποιμὴν ἐδείχθης,
τοῦ τῆδε λαοῦ
ἱερωσύνης τοὺς θεσμοὺς
καταρτίσας τῷ βίῳ σου.

45 Ῥητορεύων τὰ ἄρρητα
ἐκ πυξίδος τοῦ πνεύματος
κηρύττεις νέαν δεκάλογον
τὰς τοῦ εὐαγγελίου
θεολογίας καὶ πέπεικας
50 νόμους, τύπους τε σκιὰς
τοὺς λατρεύοντας
πρὸς τὴν ἀλήθειαν Χριστὸν
εὐδρομεῖν διὰ πίστεως.

Ἀκυμάντως ἐπόρθμευσας
55 πρὸς λιμένα σωτήριον,
τρισμάκαρ, τὴν Ἐκκλησίαν σου
ὡς ἄλλην ἐν θαλάττῃ
νῦν κυβερνῶν εὐπορώτατα
τῶν αἱρέσεων μὴ ῥηγνυμένην
60 τῷ κλύδωνι,
ὧν ἀπωθεῖται εἰς ἀεὶ
τὰ πικρότατα νάματα.

Λυτρωθῆναι δεόμεθα
σαῖς ἐντεύξεσι, Λέων πάνσοφε,
65 [⟨— ⏑́ — — — — ⏑́ — —⟩]
οἱ πόθῳ σου τὴν μνήμην
ἐν ἐγκωμίοις καὶ ᾄσμασιν
νῦν γεραίροντες· μὴ διαλίπῃς,
ἀοίδιμε,
f. 106 70 πρὸς ‖ τὸν Θεὸν ὑπὲρ ἡμῶν
μνημονεύειν ἑκάστοτε.

54 Ἀκυμάντους Ci 65 ἀσχέτως ἐθεμελίωσας ipse expunxi: scriba v. 3 heirm. odis γ' repetit

θεοτ. Λυτικῶν ὀφλημάτων σε
ἱλαστήριον ἔγνωμεν,
Μαρία πανυπερθαύμαστε,
75 δι' ἧς οἱ ἀπωσμένοι
τῷ Θεῷ κατηλλάγημεν,
θείας φύσεως γεγενημένοι
συμμέτοχοι·
ὡς εὐεργέτην δὲ λοιπὸν
80 χαριστήριον μέλπομεν.

Κάθισμα.

Ἦχος β'. *Ἡλιοὺ ἐμιμήσω*

Μωυσέως τῷ νόμῳ ἐντεθραμμένος
Ἀαρὼν ἀνεδείχθης ἐν ἱερεῦσιν
τοὺς ἐν τῇ Δύσει φωτίζων τῷ μύρῳ σου
καὶ τὰς αἱρέσεις ἐκκόπτων τοῖς λόγοις σου,
5 ἱερομάκαρ πολύολβε·
διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν κύριον.

f. 106v ᾠδὴ δ'. *Τὸ μυστικῶς προτυπούμενον*
τῆς οἰκονομίας σου μυστήριον
ἐν τῷ παρεῖναι τὸν καιρὸν ἡμῖν ἀπεκάλυψας
τοῖς διὰ σοῦ σεσωσμένοις·
5 *δόξα τῇ δυνάμει σου, κύριε.*

Ἐν οὐρανοῖς τὸ πολίτευμα,
Χριστοῦ θεράπων Λέων, ἐκέκτησο
τῶν ἐπιγείων καὶ ῥευστῶν μηδὲν προσποιούμενος·
διὸ τὴν μέλλουσαν δόξαν,
85 πάτερ, ἀνταρσίως κεκλήρωσαι.

---

80 μέλπωμεν Ci
heirm. καθ. HC, 316 6 post διὸ cetera καθ. in cd. desunt
heirm. odis δ' ineditus videtur

1-5 (καθ.) cf. LATYŠEV, *o.c.*, 111

Ὁ πρὸς Θεόν, Λέων, πόθος σου
καὶ τὸ τοῦ θείου ζήλου θερμότατον
καὶ τὸ ἀνδρεῖον τῆς ψυχῆς εἰκότως συμβέβηκεν·
τῇ φερωνύμῳ σου κλήσει
90 δίκαιος ὡς λέων γὰρ πέποιθεν.

Νεανικῶς ἐξελήλακας
ὡς ψυχολέθρους θῆρας τῆς ποίμνης σου
τοὺς θεομάχους ὑβριστάς, τηρήσας ἀλώβητα
φυλακῇ ἐπ' ἀγρύπνῳ,
95 Λέων ἱεράρχα θερμότατε.

Τὴν μυστικὴν προσενήνοχας
ἱερουργῶν Θεῷ ὁλοκαύτωσιν
κατὰ τὴν τάξιν Ἀαρὼν τὸ μύρον τοῦ πνεύματος
χρισθεὶς καὶ κάραν καὶ πλήσας
100 πώγωνα καὶ ᾤαν ἐνδύματος.

θεοτ. Τῶν προφητῶν ἡ ὁμήγυρις,
ἀμίαντε παρθένε θεόνυμφε,
ῥάβδον καὶ βάτον καὶ σκηνὴν καὶ ὄρος καὶ κλίμακα,
πύλην, λυχνίαν καὶ στάμνον
105 σὲ πολυωνύμως κεκλήκασιν.

f. 107 ᾠδὴ ε'. *Φωτὸς ὢν καὶ εἰρήνης* ⟨*ἄρχων*⟩ *καὶ πάροχος*
ἐκ νυκτός σοι τοὺς ὀρθρίζοντας
υἱοὺς ἡμέρας ἀνάδειξον·
ἐκτός σου γὰρ ἄλλον Θεὸν οὐκ οἴδαμεν.

Ἀρκούντως τῶν πενήτων, πάτερ, ἐφρόντισας
τοὺς πεινῶντας κορεννύων τροφῆς,
ἐνδύων τοὺς γυμνητεύοντας,
ὀρφανοὺς καὶ χήρας προσλαμβανόμενος.

---

heirm. odis ε' ineditus videtur 1 heirm. ἄρχων ipse scripsi
109 πρόσλαμβανόμενον Ci

106-109 cf. LATYŠEV, *o.c.*, 112

98-101 Ps. 132,2

110 Θαυμάζομεν ὁρῶντες ὄντως ἐξαίσια!
ἐκ πηγῆς ὥσπερ τὸ ἔλαιον
ἐκ τῆς σοροῦ προχεόμενον
Λέοντος τοῦ θείου ἱερομάρτυρος.

Ἐν σοὶ ἡ Καταναίων χαίρει μητρόπολις,
115 ὅτι ταύτης κατεκόσμησας
τὸν θρόνον ταῖς ἀριστείαις σου,
Λέων ἱεράρχα, ποιμένων ἄριστε.

Ὁ τῶν ἀφράστων μύστης Παῦλος ὁ πάνσοφος
προδιέγραψέν σε, ὅσιε,
120 ἀρχιερέα καὶ ἄκακον,
ἀμίαντον, πρᾶον, Λέων πανάριστε.

θεοτ. Ὃν τρέμουσιν τοῦ βλέπειν ἀγγέλων τάγματα
τῷ ἀστέκτῳ τῆς θεότητος,
ἀνθρώποις σαρκὶ ἐπέφανεν
125 ἐκ σοῦ, θεοτόκε, δι' οἶκτον ἄφατον.

f. 107ᵛ ᾠδὴ ϛ'. *Βυθίῳ θηρὶ*
τῷ ἐμπαθεῖ λογισμῷ καταπέπομαι,
ἀλλ' ἐκ κοιλίας Ἅιδου κραυγάζω σοι·
« ὡς Ἰωνᾶν τῆς φθορᾶς με,
5 *κυβερνῆτα, διάσωσον ».*

Ὑπέδυς, Μωσῆς
ὡς ὁ θεόπτης, τὸν γνόφον τὸν ἄδυτον
καὶ συλλαλῶν Θεῷ δι' ἐντεύξεων
ταῖς ἀναιμάκτοις θυσίαις
130 τὸν λαὸν καθηγίασας.

---

heirm. odis ϛ' ineditus videtur

110-113 cf. LATYŠEV, *o.c.*, 112[32-35]
114-117 cf. LATYŠEV, *o.c.*, 111-112

126-127 Ex. 10,22

Μεγάλως Θεὸς
ἠδύνθη, Λέων, τοῖς πόνοις τῶν ἔργων σου·
καὶ γὰρ ναοὺς ἁγίων δειμάμενος
τὴν σὴν ἐν τούτοις πολίχνην
135 παμπρεπῶς ἐθαυμάστωσας.

Ἐκ πάσης ἡμᾶς
ὑπεναντίου, κακίστης σκαιότητος
τοὺς ἐκτελοῦντας πίστει τὴν μνήμην σου,
θεομακάριστε Λέων,
140 σαῖς πρεσβείαις περίσῳζε.

f. 108 θεοτ. ‖ Ἐν σοὶ τῶν βροτῶν
ἀμηχανεῖ πᾶσα ἔννοια, μήτηρ Θεοῦ·
πῶς ἐν γαστρὶ χωρεῖς τὸν ἀχώρητον
καὶ βρέφος φέρεις ἀγκάλαις
145 τὸν τῇ φύσει πληρέστατον.

Κοντάκιον.

Ἦχος πλ. δ'. *Τῷ φαεινῷ*

Ἐκ τῆς Ῥαβέννης ἔφυς
ἀστράπτων τῇ χάριτι·
τὸν τῆς Κατάνης θρόνον,
παμμάκαρ, ἐλάμπρυνας,
5 πανίερε ἱερομάκαρ Λέων σοφέ,
θαυμάτων ὁ ἔμπλεως·
πρέσβευε ὑπὲρ ἡμῶν
τῶν ἐπιτελούντων ἐν πόθῳ τὴν μνήμην σου.

---

131 θεῷ Ci 133 νεοὺς Ci ναοὺς Σλ 135 παμπρεπῶς] λαμπρῶς Ci 137 ὑπεναντίους κακίστους Ci κακίστου Σλ
heirm. κοντακ. TRM II, ϛε', 50-51 κοντ. et οἰκ. om. Σλ

131-125 cf. LATYŠEV, *o.c.*, 112

Ὁ οἶκος. *Τῷ μύρῳ θείῳ*

Ἀνευφημήσωμεν πόθῳ
10 ἐν ᾄσμασιν θεοπνεύστοις
f. 108ᵛ ‖ καὶ ᾠδαῖς πνευματικαῖς
ἐπαξίως καὶ ἐγκωμίοις
Λέοντα, πάντες,
τὸν σοφὸν θαυματουργὸν
15 καὶ θεῖον διδάσκαλον
ὡς προστάτην εὐμενῆ,
ἀντιλήπτορα μέγαν
καὶ θερμὸν πρεσβευτὴν δὲ
τῶν κινδύνων ἐξαιρούμενον ἀεὶ
20 τοὺς ἀδιαστάκτως βοῶντας·
« τῶν ἐπιτελούντων ἐν πόθῳ τὴν μνήμην σου ».

•

ᾠδὴ ζ'. *Ἐχθροῖς ἀγνοοῦσίν σε*
μὴ παραδώῃς ἡμᾶς
εἰς τέλος διὰ τὸ ὄνομά σου,
ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν,
5 *οἷς ἐποίησας ἡμᾶς,*
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Λαοί, τὴν μετάνοιαν
ἐν εὐπροσδέκτῳ καιρῷ
ἐπιδειξώμεθα νῦν εὐψύχως·
προσευχῇ καὶ νηστείᾳ συντόνῳ
150 τὰς ὀρέξεις τῶν παθῶν
πρὸς γαλήνην κατευνάσωμεν.

Ἐνθέως ἡμιλλήθης
τῷ ζήλῳ τοῦ Φινεὲς
δι' εὐσεβείας, παμμάκαρ Λέων·

---

heirm. οἶκ. PAS I, 355 19 ἐξαιρούμενος Ci
heirm. ζ' ineditus videtur; vv. 3-6 heirm. om. Σλ 148 εὐψύχους Ci
153 τῶ ζηλωτῆ φινεὲς Σλ φηνεὲς Ci

152-154 Num. 25,6-9

155 Ἡλιόδωρον γὰρ γοητείαις
κακοδαίμονα ὁρῶν,
οὐκ ἠνέσχου τὴν δυσσέβειαν.

Εἰς ἔνδειγμα πίστεως
τῆς μαγικῆς ἐμφανῶς
160 ἀπάτης τὸ μύσος θριαμβεύων,
δημοσίῳ τῆς πόλεως τόπῳ
τὸν δεινὸν ἐπαοιδὸν
τῷ πυρί, πάτερ, ἐνέπρησας.

Σαφῶς ἰατῆρά σε
165 τῶν ἀλγημάτων ἡμῶν
εἰδότες προστρέχομεν, θεόφρων,
τῇ σορῷ τοῦ τιμίου σκήνους
καὶ τὴν ῥῶσιν παρευθὺ
δι' ἐλαίου κομιζόμεθα.

θεοτ. 170 Σὲ μόνην ἀντίληψιν
καὶ ὀχυρὰν εἰς Θεὸν
προστάτιν καὶ κραταιὰν ἐλπίδα,
θεομήτωρ ἁγνή, κεκτημένοι,
ἐκ παντοίας μηχανῆς
175 τῶν ἐχθρῶν ἡμῶν ῥυσθείημεν.

f. 109 ᾠδὴ η'. *Ἐξέμηνε παίδων ἔνστασις*
δυσσεβοῦντος τυράννου παράνοιαν,
τῷ θυμῷ δὲ μὴ δείσαντες,
πυρὶ δροσιζόμενοι ἔψαλλον·
5 *« εὐλογεῖτε, τὰ ἔργα κυρίου, τὸν κύριον ».*

Συνόμιλος, Λέων, γέγονας
τῶν ἀγγέλων καὶ σύσκηνος πέφηνας

---

162 τῶν δεινῶν ἐπαοιδῶν Ci 166 ἰδόντες Ci προστρέχωμεν θεόφρον Σλ 172 προστάτην Σλ 173 θεομῆτορ Σλ
heirm. η' ineditus videtur (1 Ἐξέμινεν Ci Ἐξέμεινεν Σλ vv. 2-5 om. Σλ 3 δήσαντες Ci) 177 καὶ σύσκηνος πέφηνας desunt in Ci

---

155-163 cf. LATYŠEV, *o.c.*, 113-117
164-169 cf. LATYŠEV, *o.c.*, 112[32-35]

ἀποστόλων καὶ σύνθρονος
τῶν πατριαρχῶν κεχρημάτικας,
180 ἐποπτείας τῆς φωταυγοῦς κατηξίωσαι.

Ἰάσεως θᾶττον ἔτυχεν
προσδραμοῦσα σπουδῇ τῶν λειψάνων σου
ἡ τῇ ῥύσει τοῦ αἵματος
πάσχουσα γυνή, ὡς καὶ πρότερον
185 ἡ αἱμόρρους προσψαύσασα τῷ κρασπέδῳ Χριστοῦ.

Νενίκηκας, Λέων πάνσεπτε,
τοῦ Βελίαρ τὴν ἅπασαν δύναμιν·
τὸ γὰρ ἄθεσμον ξόανον,
ἐν ᾧ ἐθυσίαζε Δέκιος,
190 προσευχῇ σου κατέρραξας καὶ συνέτριψας.

Ἁγίασμα δόξης ἔμπλεων
ἐξ εἰδώλων βωμοῦ μετωνόμασας
τῶν Χριστοῦ Τεσσαράκοντα
f. 109v ‖ Μαρτύρων τὸν δρόμον, πανσέβαστε,
195 πρὸς λατρείαν ἀφιερώσας τοῦ πάντων Θεοῦ.

θεοτ. Ἀΐδιον Λόγον, ἄχρονον,
πατρικῆς ὑποστάσεως σύμμορφον,
μὴ τραπέντα θεότητι,
ἐκ σοῦ σαρκωθέντα ἐγνώκαμεν,
200 θεοτόκε· διό σε μακαρίζομεν.

---

179 ἐχρημάτισας Σλ   180 ἐποπτίας Ci   ἐπτοπτίας Σλ   191 ἔμπλεον Σλ   192 μετονόμασας Ci Σλ   194 δρόμον] δόμον Σλ   200 νῦν post σε add. Σλ

181-185 cf. LATYŠEV, *o.c.*, 117^{17-26}
186-190 cf. LATYŠEV, *o.c.*, 112^{21-27}
191-195 cf. LATYŠEV, *o.c.*, 112^{27-29}

---

185 Matth. 9,20

ᾠδὴ θ'. *Σὲ τὴν τοῦ Θεοῦ*
πρὸς ἀνθρώπους γέφυραν,
τὸ γῆθεν πρὸς οὐρανοὺς
τῶν βροτῶν διαβατήριον,
5 *ὡς τῶν πιστῶν ἐγκαλλώπισμα,*
γεγηθότες, πανάχραντε, μεγαλύνομεν.

Εὔθυμοι, πιστοί,
πρὸς τὴν μνήμην σήμερον
συνδράμωμεν τοῦ σοφοῦ
f. 110 ποιμνιάρχου ἡ‖μῶν Λέοντος
205 τὸν ἀρχιποίμενα κύριον
ἐπαξίοις τοῖς ᾄσμασι μεγαλύνοντες.

Εἶδεν ὁ λαὸς
τοῦ Θεοῦ παράδοξα·
τὴν θήκην γάρ σου πιστῶς
210 τῶν λειψάνων ἀσπαζόμενοι
ἀλεξητήριον ὥσπερ παθῶν
ἀναβλύζοντα τὸν ἔλαιον ἀρυόμεθα.

Δύο ἐν ταὐτῷ
μητροπόλεις γήθονται·
215 ἡ Ῥάβεννα ὡς πατρίς,
ἡ τοιοῦτον θρεψαμένη σε,
καὶ ἡ Κατάνη αὐχοῦσά σε,
Λέων μάκαρ, ἀρχιερέα θεόληπτον.

Ὦ μυσταγωγὲ
220 τῶν ἀρρήτων, αἴτησαι

---

heirm. θ' ineditus videtur, vv. 3-6 heirm. om. Σλ   206 ἐπαξίως Σλ   μεγαλύνομεν Ci   207 Ἴδεν acrostichidis causa cdd.   212 ἀναβλύζων cdd.   ἔλεον Σλ   214 μητρόπολις Ci   215 ῥάβενα Σλ

207-212 cf. LATYŠEV, *o.c.*, 112^{32-35}
213-218 cf. LATYŠEV, *o.c.*, 111-112

207-208 Luc. 5,26

τὴν χάριν παρὰ Θεοῦ
τοῖς ὑμνοῦσί σε δοθῆναι ἡμῖν,
ταῖς ἐκκλησίαις ὁμόνοιαν
ἐν τῇ πίστει καὶ τὴν εἰρήνην τοῖς πέρασιν.

θεοτ. 225 Ὤλεσε Χριστὸς
τεχθεὶς ἐκ νηδύος σου
τὰ κράτη τῶν δυναστῶν,
θεοτόκε μητροπάρθενε·
διὸ καὶ νῦν, καταβάλλουσα
230 τοὺς τῆς Ἄγαρ, τὰς πόλεις σου νῦν περίσῳζε.

221 θεῷ Σλ 230 τοὺς τῆς ἄγαρ τὰς πόλεις περισάωζε Σλ

IN SANCTUM EUSTATHIUM PATRIARCHAM ANTIOCHIAE

Synaxarium, 480: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εὐσταθίου πατριάρχου Ἀντιοχείας τῆς μεγάλης. Οὗτος ἦν ἐπὶ Κωνσταντίνου, τοῦ πρώτου ἐν βασιλεῦσι χριστιανοῦ, τῆς ὀρθοδοξίας τὰς ἀκτῖνας λόγῳ σοφίας πανταχοῦ τῆς οἰκουμένης ἐκπέμπων. Ὃς καὶ παρὼν ἐν τῇ κατὰ Νίκαιαν ἁγίᾳ συνόδῳ καὶ πρώτῃ, τὸ δόγμα τῆς εὐσεβείας κρατύνων, ἐξελέγχων δὲ καὶ ἀνατρέπων τοὺς ἐπὶ τῆς θείας φύσεως τὴν τομὴν ἐπεισάγοντας καὶ τὸν υἱὸν κτίσμα λέγοντας καὶ τῆς πατρικῆς τιμῆς καὶ ἀξίας ἀλλοτριοῦντας. Διὰ γοῦν τὴν ἔνθεον αὐτοῦ παρρησίαν καὶ τὸν ὑπὲρ τῆς ὀρθοδόξου πίστεως ζῆλον, φθόνον ἐκίνησαν κατ' αὐτοῦ Εὐσέβιος ὁ Νικομηδείας καὶ Θέογνις ὁ Νικαίας καὶ Εὐσέβιος ὁ Καισαρείας καὶ οἱ λοιποὶ ὅσοι τῆς Ἀρειανικῆς βλασφημίας ἢ μᾶλλον εἰπεῖν ἀθεΐας ἐτύγχανον κοινωνοί..... ἐν Ἀντιοχείᾳ γενόμενοι, τοῦ ἁγίου κατεψηφίσαντο καθαίρεσιν, ὅτι δή φασιν γύναιον ἑταιρικόν — ὑπ' αὐτῶν ἐπὶ μεγάλοις δώροις ἀναπεισθὲν — ἀρτιγενὲς παιδίον ἐπιφερόμενον προσῆλθεν αὐτοῖς, ἐκ συνουσίας τοῦ Εὐσταθίου συνειληφέναι λέγον καὶ τετοκέναι τὸ ἐπιφερόμενον βρέφος. Οἵ ..... εὐθὺς τοῦ ἁγίου καταψηφίζονται καθαίρεσιν καὶ τὸν βασιλέα πείθουσιν ἐξορίαν ἀποφήνασθαι κατ' αὐτοῦ. Καὶ ἐπέμφθη διὰ τῆς Θρᾴκης εἰς Φιλίππους, ἔνθα καὶ τὸν βίον κατέλυσεν. Ἑκατὸν δὲ χρόνων διαγενομένων, κατὰ τοὺς χρόνους τῆς βασιλείας Ζήνωνος ἀνήχθη τὸ ἅγιον αὐτοῦ λείψανον καὶ παρεπέμφθη εἰς Ἀντιόχειαν..... Τοῦτον καὶ ὁ τίμιος Χρυσόστομος ἐγκωμίοις ἐτίμησε. Λέγεται δὲ τὸ συκοφαντῆσαν τὸν μέγαν Εὐστάθιον γύναιον νόσῳ χαλεπῇ περιπεσὸν τὴν κατ' αὐτοῦ πᾶσαν ἐξαγορεῦσαι ἐπιβουλὴν ..... καὶ ὅτι χρήμασιν ὑπ' αὐτῶν πεισθεῖσα τὴν κατηγορίαν ἐξήνεγκεν..... ὑπὸ γάρ τινος χαλκέως συμφθαρέντος αὐτῇ γεννηθῆναι ἔφη τὸ βρέφος.

Crypt. Δ.α. LXIII	= Dg,	ff. 12^v-15
Crypt. Δ.α. XXI	= Da,	ff. 67^v-68^v
Sinait. gr. 602	= Σλ,	ff. 125^v-127^v
Paris. gr. 1567	= Rb,	ff. 10^v-11^v
Vat. gr. 1515	= Vr,	ff. 241^v-242^v
Mess. gr. 136	= Mf,	ff. 149^v-153
Patm. 793	= Πj,	ff. 117^v-120
Patm. 857	= Πl,	ff. 148^v-155^v
Sinait. gr. 597	= Σ,	ff. 166^v-167^v

Μηνὶ τῷ αὐτῷ ⟨Ἰουνίῳ⟩ ε'. Τοῦ ἁγίου Εὐσταθίου ἐπισκόπου Ἀντιοχείας καὶ τοῦ ὁσίου Πέτρου. Εἰς τὸν ὄρθρον ὁ κανὼν τοῦ ἁγίου Εὐσταθίου Dg

Μηνὶ τῷ αὐτῷ ⟨Φεβρ.⟩ κα'. Τοῦ ἁγίου Εὐσταθίου ἀρχιεπισκόπου Ἀντιοχείας... Ὁ κανὼν Da

Ὁ κανών.

Ἦχος βαρύς.

ᾠδὴ α'. *Τῷ συνεργήσαντι Θεῷ*

Τὴν τῶν πατέρων κορυφήν,
ὡς τοῦ Λόγου τὴν χάριν ἀναδησάμενον,
τὸν μέγαν Εὐστάθιον
ᾠδαῖς ἀνευφημήσωμεν.

5 Πρόμαχος πίστεως φανείς,
τὴν Χριστοῦ Ἐκκλησίαν ἀπολιόρκητον
πολέμου αἱρέσεως
διεφύλαξας, ὅσιε.

Μηνὶ τῷ αὐτῷ <Φεβρ.> κβ'. Τοῦ ἁγίου Εὐσταθίου ἀρχιεπισκόπου Ἀντιοχείας... Ἕτερος κανὼν τοῦ ἁγίου Εὐσταθίου ἀρχιεπισκόπου Ἀντιοχείας Σλ
Μηνὶ τῷ αὐτῷ <Ἰουν.> ε'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εὐσταθίου ἀρχιεπισκόπου τῆς Μεγάλης Ἀντιοχείας καὶ μνήμη τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀνάγκης ἐκ τῆς τῶν βαρβάρων ἐπιδρομῆς... Ὁ κανὼν τοῦ ἁγίου Rb
Μηνὶ τῷ αὐτῷ <Φεβρ.> κα'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Τιμοθέου τοῦ ἐν Συμβόλοις καὶ τοῦ ἁγίου Εὐσταθίου ἀρχιεπισκόπου Ἀντιοχείας τῆς Μεγάλης... Ἐν τοῖς ἀποδείπνοις ψάλλεται ὁ κανὼν τοῦ ἱεράρχου Vr
Μηνὶ Ἰουνίῳ ε'. Τοῦ ἁγίου Εὐσταθίου ἀρχιεπισκόπου Ἀντιοχείας... Ὁ κανὼν Mf
Μηνὶ τῷ αὐτῷ <Φεβρ.> κα'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Τιμοθέου τοῦ ἐν Συμβόλοις καὶ τοῦ ἁγίου Εὐσταθίου Ἀντιοχείας... Ὁ κανὼν τοῦ ἁγίου Τιμοθέου — inc. Αἴγλη φωτιζόμενος ἀεὶ (ff. 14-17v) de quo cf. canonem XXVI — Ἕτερος κανὼν τοῦ ἁγίου Εὐσταθίου Πj
Τῷ αὐτῷ μηνὶ <Φεβρ.> κα'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Τιμοθέου τοῦ ἐν Συμβόλοις καὶ τοῦ ἁγίου Εὐσταθίου Ἀντιοχείας Πl — cd. duos canones, alternatis odis, tradit: priorem in s. Timotheum dicatum, inc. Αἴγλη φωτιζόμενος ἀεί, de quo cf. canonem XXVI; alterum Ἕτερος κανὼν τοῦ ἁγίου Εὐσταθίου, quem huc referimus
Μηνὶ τῷ αὐτῷ <Φεβρ.> κβ'. Τοῦ ἁγίου Εὐσταθίου ἀρχιεπισκόπου Ἀντιοχείας... Ὁ κανὼν Σ; idem cd. canonem mutilum praebet
Nomen Θεοδώρου Στουδίτου in margine cd. Da legitur
heirm. α' EE 202, n. 287, Germani; Rb Vr heirm. integrum tradunt
2 ἀναδησάμενοι Da Mf   7 πολέμων Vr

5-12 cf. LATYŠEV, *Menologii*, I, 120-121

Στόμα τοῦ Λόγου γεγονώς,
10 ἐξηρεύξω δογμάτων πέλαγος, ὅσιε,
ἐν ᾧ κατεπόντισας
Ἀρείου τὴν ἀσέβειαν.

Ἐπιτελοῦντες ἐν ᾠδαῖς
τὴν ἁγίαν σου μνήμην σήμερον, ὅσιε,
15 πιστῶς εὐφραινόμεθα,
δοξάζοντες Χριστὸν τὸν Θεόν.

θεοτ. * Ἡ διὰ λόγου ἐν σαρκὶ
ὑπὲρ λόγον τεκοῦσα τὸν ἀρχηγὸν τῆς ζωῆς,
παρθένε, ἱκέτευε
20 σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ· φθέγξομαι

Τῷ ῥεύματι
τῆς εὐλάλου σου γλώττης,
πάτερ, ἀπέκλισας ἐκ βορβορώδους
τὴν Ἐκκλησίαν δυσσεβείας
25 καὶ ἀπέδειξας ἄσπιλον.

Ἐξώρισας
ἀπὸ τῆς Ἐκκλησίας
τὴν χριστεπίβουλον Ἀρείου λύσσαν
ὑπὲρ τῆς ἀληθείας, πάτερ,
30 ἀποσκορακιζόμενος.

Τὴν ὕπαρξιν
ἐκ πατρὸς ἀϊδίως

9-12 trop. om. Da Rb Mf   13-16 trop. deest in Σλ Vr Mf Πj Πl Σ   17-20 θεοτ. NS 28 (1933) 335   17 Ἡ] Ὁ Πl   18 τὸν ἀρχ. τῆς ζωῆς] χριστὸν τὸν θεὸν Rb   19 παρθένε] ἀπαύστως Σλ Vr Πj Πl Σ NS
Odem β' tantum Dg Σλ Rb praebent
heirm. β' EE 204, n. 290, Andreae; heirm. integrum tradit Rb   22 γλώσσης Rb   25 ὑπέδειξας Σλ   26-30 trop. om. Σλ   29 ὑπὲρ deest in Dg

---

31-35 cf. *PG* 18, col. 674, 676; MANSI, II, 663

τρανῶν τοῦ μονογενοῦς τῶν ἑκατέρων
προσώπων μίαν φύσιν,
35 πάτερ, ἐκήρυττες.

f. 13 || Ἐστήριξας
τὴν Χριστοῦ Ἐκκλησίαν
ὅρῳ τῆς πίστεως, τὸ τῆς Τριάδος,
ἱεροφάντορ,
40 διαγράψας μυστήριον.

θεοτ. Πεπλήρωνται
ἐπὶ σοί, θεοτόκε,
τῶν προφητῶν αἱ φωναί· ἐκ σοῦ γὰρ Λόγος
πατρὸς ἀνάρχου
45 ἐν σαρκὶ ἐπεδήμησεν.

ᾠδὴ γʹ. *Ἐστερεώθη*
ἡ καρδία μου

Ῥομφαίαν, πάτερ,
σὺ σπασάμενος ἀληθείας
ἐδείχθης
εὐσεβείας ἀρχιστράτηγος,
50 ὑπεναντίους τῆς πίστεως
ἐκκεντήσας, Εὐστάθιε.

Ἐνθέως
γεωργήσας τὴν Ἐκκλησίαν,
δρεπάνῳ

35 π. ἐκκηρύττεις τοῖς πέρασιν Σλ π. ἐκήρ. τοῖς πέρασιν Rb 36-40 trop. om. Rb 38 τὸ] τοῦ Σλ 40 μυστηρίου διαγράψας τὸ σύμβολον Σλ 42 θεοτόκε] παναγία Σλ Rb 45 ἐπ' ἐσχάτων σαρκωθεὶς ἐπεδ. Σλ ἐπ' ἐσχάτων ἐν σαρκὶ ἐπεδ. Rb

heirm. γʹ EE 203, n. 289, Germani; idem EE 201, n. 285, Joannis — in Da Rb Vr Πl heirm. integrum habeas; idem parum metro stropae aptatur 47 ἐσπασμένος τῆς ἀλ. Da Σλ Rb Vr Mf Πj Πl ἐσπασμένην τῆς ἀλ. Σ 49 ἀσεβείας Σ 54 δρεπάνη Vr

46-51 Mar. 14,47 54-57 Is. 18,5

55 τῶν δογμάτων σου, μακάριε,
τοὺς ἐν αὐτῇ τῶν αἱρέσεων
ἀπεξέτεμες σκόλοπας.

Πρωτεύων
τοῦ συλλόγου τῆς ἀληθείας
60 τὸν ὄντως
ἀρχηγὸν τοῦ ψεύδους Ἄρειον,
θεομάκαρ, ἐπάταξας
λιθασμῷ τῶν δογμάτων σου.

θεοτ. * Ἐτέχθης
65 ἐκ παρθένου ἀνερμηνεύτως,
ἐφάνης
ὡς εὐδόκησας, σωτὴρ ἡμῶν,
καὶ τὸν κόσμον ἐφώτισας,
πολυέλεε κύριε.

Κάθισμα.

Ἦχος πλ. αʹ. *Χορὸς ἀγγελικός*

Ὁμότιμον πατρὶ
δογματίζων τὸν Λόγον
πατέρων φωταυγὴς
κορυφαῖος ἐγένου
5 καὶ Ἄρειον ἐβύθισας
ἀληθῶς τὸν φρενόπληκτον
καὶ ἐφώτισας τῶν εὐσεβῶν διανοίας·
ὅθεν σήμερον χαρμονικῶς σε τιμῶμεν,
Εὐστάθιε ἔνδοξε.

57 ὑπεξέτεμες Rb 58-63 trop. desideratur in Da Mf 64-69 θεοτ. MR III, 85 67 ηὐδόκησας Σλ Vr Mf Πl Σ MR σωτὴρ ἡμῶν] φιλάνθρωπε MR 68 ἐφώτισας] ἀνεκαίνισας Da Σλ Rb Vr Mf Πj Πl Σ MR 69 v. om. Vr πολυέλεε om. Da Rb Mf Πj Σ MR κύριε om. Πl

heirm. καθ. MR III, 481; idem κάθ. ante canonem in Rb, post odem ςʹ in Vr, invenimus 6 φρενόληπτον Vr 9 ἔνδοξε] πάνσοφε Vr

58-59 Col. 1,18

f. 13ᵛ || ᾠδὴ δ'. *Ἐκάλυψεν οὐρανούς, Χριστὲ ὁ Θεός*

70 Τῆς γνώσεως τοῦ Χριστοῦ τὸν ἄνθρακα
ἐν τοῖς χείλεσί σου φέρων,
ἐμπυρισμὸν ἀσεβείας
εἰργάσω, παμμακάριστε.

Τῆς πίστεως συγκροτῶν τὰ τρόπαια
75 ἐν τοῖς βέλεσι τῶν λόγων
τὸν ἀσεβῆ θεοφρόνως
καθεῖλες, πάτερ, Ἄρειον.

Τῶν φθόγγων σου ἡ λαμπὰς ὡσεὶ ἀστραπὴ
ἐξελθοῦσα, τοῦ Ἀρείου
80 θεομανίαν ἀνεῖλεν,
Εὐστάθιε θεόσοφε.

θεοτ. Ἱκέτευε τὸν ἐκ σοῦ τεχθέντα Θεόν,
παναγία θεοτόκε,
ἐκ τῶν κινδύνων ῥυσθῆναι
85 ἡμᾶς τοὺς ἀνυμνοῦντάς σε.

In Πl post odem γ' legimus: Κάθισμα. Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,* Τιμήσας τὸν Θεόν... (de quo cf. canonem s. Timothei) Ἕτερον τοῦ ἱεράρχου. Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ* - [Δόξα] Τὸν ὑψωθέντα ἐν σταυρῷ, ἱεράρχα, / ἐκμιμησάμενος Χριστόν, ἐγκρατείᾳ / καὶ πόνοις τῆς ἀσκήσεως ἐσταύρωσας σαυτόν· / ὅθεν σε συμμέτοχον / τῆς αὐτοῦ θείας δόξης / ἔδειξεν ὡς σύνθρονον τῶν σοφῶν ἀποστόλων, / μεθ' ὧν ἀεὶ ἱκέτευε αὐτὸν / ὑπὲρ τῶν πόθῳ, σοφέ, εὐφημούντων σε. [Καὶ νῦν] Θεοτοκίον ὅμοιον· Τὴν θεοτόκον ἐκτενῶς. Σταυροθεοτ. Ἐπὶ σταυροῦ σε δυνατέ, κρεμασθέντα..., cf. PaR 316.

heirm. δ' EE 203, n. 288, Germani; Da Rb Vr Mf integrum exhibent 70 Χριστοῦ] θεοῦ Vr 72 ἐμπρησμὸν Σλ Rb Vr Πj Πl Σ 74 συγκηρατῶν Dg 77 ἀνεῖλες Da Σλ Rb Vr Mf Πj Πj Σ 78-81 trop. om. Mf 78-85 Σλ Πj Πl Σ diversa troparia habent (cf. secundam traditionem canonis) 78 ὡσεὶ] ὡς ἡ Rb 80 ἐξῆρεν Da Vr ἐξήρανεν Rb 83 v. om. Rb

---

70-73 Rom. 12,20

ᾠδὴ ε'. *Ὀρθρίζει τὸ πνεῦμά μου*

Ἱστῶντες χοροστασίας πνευματικὰς
ἑορτάσωμεν ὡς ἐτήσιον χρέος
τοῦ ἱεράρχου σήμερον
τὸ ἱερὸν μνημόσυνον.

90 Τὸν ζόφον μειώσας τῶν αἱρέσεων
ἐξανέτειλας εἰς τὰ πέρατα πάντα
ἀκτῖνας τῶν θαυμάτων σου,
Εὐστάθιε μακάριε.

Τοῖς ὅπλοις φραττόμενοι, Εὐστάθιε,
95 τῶν δογμάτων σου, τὰς ἐπανισταμένας
κατὰ τῆς θείας πίστεως
f. 14 αἱρέ||σεις ἐκτρεπόμεθα.

θεοτ. Τὸν Λόγον συνέλαβες ἐν μήτρᾳ σου,
παρθένε ἁγνή· διὸ πάντες εὐσεβῶς
100 δοξάζομέν σε, πάναγνε,
ὡς τεῖχος τῶν ψυχῶν ἡμῶν.

ᾠδὴ ϛ'. *Ὁ Ἰωνᾶς*
ἐκ κοιλίας Ἅιδου

Τῶν λόγων σου
θεοπνεύστῳ γαλήνῃ
κατέπαυσας ζάλην αἱρετιζόντων
105 εἰς ὅρμον εὐσεβείας
τὴν Ἐκκλησίαν καθορμῶν, παμμακάριστε.

---

heirm. ε' EE 203, n. 287, Germani; Da Rb Vr Mf heirm. integrum tradunt 86 χοροστασίας] χορείας Σλ Πj Πl Σ 89 τὸ ἱερὸν om. Πl 91 ἐξανατείλας Rb 92 θαυμάτων] δογμάτων Πj Πl Σ 94-97 trop. deest in Da Mf 97 ἐκτρεπούμεθα Dg 98-101 Σλ Πj Πl Σ dissimile θεοτ. praebent 100-101 δοξάζομεν πανάμωμε / ὡς τεῖχος ἡμῶν ἄρρηκτον Da Rb Vr Mf

heirm. ϛ' EE 201, n. 284, Joannis; heirm. integer in Πl 104 κατεύνασας Da Σλ Rb Mf Πj Πl κατηύγασας Vr κατηύνασας Σ 106 καθορμίζων Πj Πl Σ καθορῶν Vr

Ἀπέρριψας
εἰς δογμάτων σου βάθη
τὴν Ἀρείου φαραώφρονα μάχην
110 ἀναβάτας τριστάτας
τοὺς ὑπ' αὐτὸν ὑπασπιστὰς ἀποπνίξας, σοφέ.

Ἐν ἀρετῇ
ἀπροσίτῳ ὑπάρχων
ὁ ὅσιος περιδέξιος, ὤφθη
115 διὰ λόγου καὶ βίου
τῆς Ἐκκλησίας τοῦ Χριστοῦ ἐγκαλλώπισμα.

θεοτ. * Ὃν ἔτεκες,
θεοτόκε, ἀνερμηνεύτως
Θεὸν ἡμῶν δυσωποῦσα μὴ παύσῃ
120 ῥυσθῆναι ἐκ κινδύνων
τοὺς ὑμνοῦντάς σε, ἁγνὴ ἀειπάρθενε.

ᾠδὴ ζ'. *Τοὺς ἐν καμίνῳ παῖδας*

Τῶν αἱρετιζόντων, μακάριε,
ἐν ὁπλομαχίᾳ τοῦ πνεύματος
ἐκτρέψας τὸ σύστημα
125 ἀνεπλέξω τῆς νίκης
τὸν ἔνθεον στέφανον.

107-111 trop. desideratur in Σλ Mf Πj Πl Σ 109 μάχην] γνώμην Vr 114 περιδέξιον Σλ Πj Πl Σ ὤφθης Rb 116 τοῦ om. Vr 117-121 θεοτ. MR III, 89 119 ἡμῖν Dg 121 τοὺς ἀνυμνοῦντας ἁγν. ἀειπ. Da

heirm. ζ' EE 203, n. 287, Germani (ut heirm. odis η'); heirm. integer in Da

heirm. et trop. odis ζ' in Σλ Rb Vr Mf diversa sunt — cf. secundam et tertiam traditionem canonis 122 μακάριε] τὸν πόλεμον Dg Da Rb Vr τὸ σύστημα Σ 123 κραταιᾷ post ὁπλομαχίᾳ add. Dg 124 ἔτρεψας ἀνακράζων Dg Rb Vr ἐκτρέψας ἐκραύγαζες Da κεφαλὰς ἐκκόψας ἀνέκραζες Da Πj Πl ἐκτρέψας ἀνέκραζες Σ 125-126 εὐλογητὸς εἶ ὁ θεός: Dg εὐλογητός: Da Πj Πl εὐλογεῖτε τὸν κτίστην / τοῦ κόσμου καὶ κύριον Πj Πl εὐλογεῖτε τὰ ἔργα / κυρίου τὸν κύριον Σ

110-111 Ex. 15,4

Σαλπίζων τῇ τῶν λόγων σου σάλπιγγι
στῖφος ἀσεβῶν καταπτοεῖς,
τοὺς δὲ Χριστοῦ μαθητὰς
f. 14v 130 συνεγεί‖ρεις παλαίειν
λογικῶς, Εὐστάθιε.

Μάχαιρα ὀξεῖα ὁ λόγος σου
κατὰ ἀσεβῶν, πάτερ σοφέ,
ἐκτέθειται ὡς χειρὸς
135 τοῦ Λόγου καὶ τὸν τούτων
πόλεμον θραύεις.

θεοτ. Τὴν θεοτόκον, πάντες, τιμήσωμεν
ὅτι τὸν σωτῆρα τοῦ παντὸς
κυήσασα πάντας
140 ἐνίσχυσε κραυγάζειν·
« χαῖρε, μόνη δέσποινα ».

ᾠδὴ η'. *Τὸν μόνον ἄναρχον*

Ῥάβδῳ σοφίας σου
τῆς Γραφῆς διασχίσας
τὸ θεῖον πέλαγος, Χριστοῦ ἱεράρχα,
145 διεβίβασας
πρὸς γῆν ὀρθοδοξίας
τὸν νέον Ἰσραήλ,

---

127 τῶν λόγων σου] τοῦ πνεύματος Σλ Πj Πl Σ 128 ἐξεπτόησας Da Σλ Πj Πl Σ 129 τοῖς τοῦ χριστοῦ μαθηταῖς Da τοῦ χριστοῦ τοὺς μαχητὰς Σλ Πj Πl Σ 130-131 συνεγείρης κραυγάζειν / εὐστάθιε εὐλογητὸς ὁ θεὸς ὁ τῶν: Dg συνεγείρων παλαίειν / λογικῶς εὐστάθιε Da Σλ Πj Πl Σ (συναγείρων Πj παλαίεις Da) 132-193 trop. desunt in Σ 132-137 trop. om. Da 132-141 Σλ Πj Πl diversa trop. praebent 136 ἀπαύστως βοῶν εὐλογητὸς ὁ θεὸς add. Dg — eadem expunxi metri causa 138-141 ὅτι τὸν σωτῆρα ἐκύησεν / ἐν πίστει κραυγάζοντες / χαῖρε μήτηρ καὶ δούλη / χριστοῦ τοῦ θεοῦ ἡμῶν Da 141 ἡ τὸν σωτῆρα χριστὸν ἡμῖν κυήσασα Dg — eadem expunxi metri causa

heirm. η' EE 204, n. 289, Germani 142 σοφίας σου] δυνάμεως Σλ Πj Πl τῶν λόγων σου Vr 145 διέσωσας Σλ διήγαγες Rb

---

132-136 Ps. 56,4 142-149 Ps. 14,15-28

τοὺς Ἀρειομανίτας
ὡς Αἰγυπτίους πνίξας.

150 Ἐξ οὐρανίου σου
καταβὰς θεωρίας
ἐπὶ τὸν πύργον τῆς λαλάνης Ἀρείου
συνέχεας
γλώσσας αἱρετιζόντων,
155 Εὐστάθιε σοφέ,
ὁμόφρονα δὲ πίστιν
κηρύττεις εἰς αἰῶνας.

Ὁμολογίᾳ σου
ὑπὲρ τῆς ἀληθείας
160 εἰς τὰ πρὸς Δύσιν τὴν ζωὴν καταλλάξας
ἀνέτειλας
πάλιν εἰς τὰ ἑῷα,
τῇ ποίμνῃ σου, σοφέ,
ἀκτῖνας εὐσεβείας
165 ἐκλάμπων εἰς αἰῶνας.

θεοτ. Τὸ κέρας ὕψωσον
τοῦ λαοῦ σου, οἰκτίρμων,
τῶν ἀπειθούντων τε τυράννων τὸ θράσος
f. 15 κα‖τάβαλε
170 διὰ τῆς θεοτόκου
τὰς νίκας βασιλεῖ
διδοὺς τῷ φιλοχρίστῳ,
Χριστέ, ὡς εὐεργέτης.

---

148 ἀρειομανοῦντας Dg Rb Vr Mf 150 Ἐξ οὐρανίου σύ Rb Πj Πl Ἐξ οὐρανοῦ σύ Vr 152 τῆς ἀρείου χαλάνης Rb λαλάνης] χαλάννης Dg χαλαύνης Mf χαλάνης Da Σλ Vr Πj Πl 154 γλώσσαις Vr γλῶσσαν Da αἱρετιζούσας Σλ Πj Πl 156-157 ὀρθότομον τὴν πίστιν / κηρύττων εἰς αἰῶνας Σλ Πj Πl 156 ὁμόφρονον Dg Vr ὁμόφωνον Da Rb ὁμόφρον Mf δὲ] τὴν Da Vr Mf 157 κηρύττων Da Vr 158-165 trop. om. Mf 158 Ὁμολογίας σου Da Rb Vr Πj Πl 160 καταλύσας Da Rb καταλήξας Σλ Vr Πj Πl 162 τὴν ἑώαν Πl 163 τῆς ποίμνης Σλ Πj Πl 166-173 in Σλ Πj Πl aliud θεοτ. habeas 167 οἰκτῖρμον Da Rb Vr Mf 168 τε] σε Mf θράσος] κράτος Vr 169 κατέβαλες Rb 171 τὰς] καὶ Da 172 δίδου Da 173 v. om. Vr

---

160 cf. Latyšev, *o.c.*, 122$^{9-12}$

ᾠδὴ θ′. *Τὴν ὑπὲρ φύσιν μητέρα*

Τὸν ἐν τῷ γράμματι βότρυν
175 δογματικῶς ἀποθλίψας
ἐπότισας τοὺς πιστοὺς
τὸν οἶνον, πάτερ, τῆς ἀληθείας Χριστοῦ,
τὰς καρδίας τὸν εὐφραίνοντα.

Ῥομφαίαν δίστομον φέρων,
180 τὴν θεολόγον σου γλῶτταν,
ἀνεῖλες τὴν πονηρὰν
Ἀρείου δόξαν, ἀθῷον καὶ ψυχικὸν
αἷμα, ὅσιε, ἐκχέουσαν.

Κλητήν, ἁγίαν ἡμέραν
185 τὴν παναγίαν σου μνήμην
τελοῦντες πνευματικῶς
σὲ δυσωποῦμεν, ἱκέτευε ἐκτενῶς
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

θεοτ. Ἐν κροσσωτοῖς, θεομῆτορ,
190 κεχρυσωμένοις ἐδείχθης
ὑπὸ προφήτου Δαυΐδ
πεποικιλμένη καὶ πύλη ὡς ἀληθῶς
σωτηρίας ἀνεδείχθης ἡμῖν.

---

heirm. θ′ EE 203, n. 287, Germani; heirm. integer in Rb Vr Πl 176 τοῖς πιστοῖς Σλ Rb Mf 178 τὸν] νῦν Rb 180 σου om. Vr 183 ἐκχεοῦσαν Dg προχέουσαν Πj Πl 184 Νῦν τὴν ἁγίαν ἡμέραν Vr 185 τῆς παναγίας σου μνήμης Σλ Vr Πj Πl 188 ἱεράρχα τοῦ σωθῆναι ἡμᾶς Rb Vr Πj Πl 189-193 in Σλ Πj Πl diversum θεοτ. invenimus 190 κεχρυσωμένη Da Rb Vr Mf πεποικιλμένη] προφητευθεῖσα Da Rb Vr Mf 193 ἐδείχθης Rb

---

174-175 Gen. 40,10-11 176-177 Ps. 59,3 178 Ps. 149,6 184 Lev. 23,7 189-193 Ps. 44,13

21 FEBR. *CANON* XXV (2)

IN SANCTUM EUSTATHIUM PATRIARCHAM ANTIOCHIAE

Sinait. gr. 602 = Σλ, ff. 125v-127v
Patm. 793 = Πj, ff. 117v-120
Patm. 857 = Πl, ff. 148v-155v
Sinait. gr. 597 = Σ, ff. 166v-167v

Ὁ κανών.

Ἦχος βαρύς.

ᾠδὴ α΄. *Τῷ συνεργήσαντι Θεῷ*

1-4 Τὴν τῶν πατέρων κορυφὴν
.... = Dg 1-4

5-8 Πρόμαχος πίστεως φανεὶς
.... = Dg 5-8

9-12 Στόμα τοῦ Λόγου γεγονὼς
.... = Dg 9-12

θεοτ. 13-16 Ἡ διὰ λόγου ἐν σαρκὶ
.... = Dg 17-20

ᾠδὴ β΄. *Πρόσεχε,*
οὐρανέ· φθέγξομαι γὰρ

17-21 Τῷ ῥεύματι
.... = Dg 21-25

22-26 Τὴν ὕπαρξιν
.... = Dg 31-35

heirm. α΄ EE 202, n. 287, Germani
heirm. β΄ EE 204, n. 290, Andreae; odem β΄ om. Πj Πl Σ

27-31 Ἐστήριξας
.... = Dg 36-40

f. 126 θεοτ. 32-36 Πεπλήρωνται
.... = Dg 41-45

ᾠδὴ γ΄. *Ἐστερεώθη*
ἡ καρδία μου ἐν κυρίῳ

37-42 Ῥομφαίαν
.... = Dg 46-51

43-48 Ἐνθέως
.... = Dg 52-57

49-54 Πρωτεύων
.... = Dg 58-63

θεοτ. 55-60 Ἐτέχθης
.... = Dg 64-69

ᾠδὴ δ΄. *Ἐκάλυψεν οὐρανούς, Χριστὲ ὁ Θεὸς*

61-64 Τῆς γνώσεως τοῦ Χριστοῦ τὸν ἄνθρακα
.... = Dg 70-73

65-68 Τῆς πίστεως συγκροτῶν τὰ τρόπαια
.... = Dg 74-77

Τοὺς χάρακας ὑποθεὶς τῶν λόγων σου
70 ἀνεδήσω θεοπλόκως
ὡς ἀμπελῶνα κυρίου
τὴν Ἐκκλησίαν, ὅσιε.

f. 126v θεοτ. ‖ Ἐκύησας ἐν σαρκί, παρθένε ἁγνή,
τὸν πρὸ σοῦ ἄναρχον Λόγον
75 καὶ μετὰ σὲ ὑπὲρ λόγον
ἐκ σοῦ ἀνανθρωπήσαντα.

heirm. γ΄ EE 203, n. 289, Germani; idem EE 201, n. 285, Joannis
heirm. δ΄ EE 203, n. 288, Germani

ᾠδὴ ε'. *Ὀρθρίζει τὸ πνεῦμά μου*

77-80 Ἱστῶντες χοροστασίας πνευματικὰς

.... = Dg 86-89

81-84 Τὸν ζόφον μειώσας τῶν αἱρέσεων

.... = Dg 90-93

85-88 Τοῖς ὅπλοις φραττόμενοι, Εὐστάθιε,

.... = Dg 94-97

θεοτ. Παρθένε, μὴ παύσῃ ἱκετεύουσα Θεὸν
90 τὸν ἐκ σοῦ σαρκωθέντα ἐν γαστρὶ
λυτρώσασθαι τοὺς δούλους σου
ἐκ πάσης περιστάσεως.

ᾠδὴ ς'. *Ὁ Ἰωνᾶς*
ἐκ κοιλίας Ἅιδου

93-97 Τῶν λόγων σου

.... = Dg 102-106

98-102 Ἐν ἀρετῇ

.... = Dg 112-116

θεοτ. 103-107 Ὃν ἔτεκες

.... = Dg 117-121

f. 127 || ᾠδὴ ζ'. Πρὸς τό· *Τοὺς ἐν καμίνῳ παῖδας μιμούμενοι.*

Εὐλογητὸς εἶ, κύριε, ἔκραζον
οἱ παῖδες ἐν φλογὶ δροσιζόμενοι
καὶ τὸ ὑπερένδοξον τῆς ἀφράστου
καὶ θείας δόξης ἐμεγάλυνον.

108-111 Τῶν αἱρετιζόντων, μακάριε,

.... = Dg 122-126

heirm. ε' EE 203, n. 287, Germani
heirm. ς' EE 201, n. 284, Joannis
In Πj Πl Σ heirm. odis ζ' sonat: Τοὺς ἐν καμίνῳ παῖδας μιμούμενοι ... de quo cf. EE 203, n.287, Germani 91 λυτρώσασθαι τὴν ποίμνην σου Πj Πl Σ
108 μακάριε] τὸ σύστημα Σ

112-115 Σαλπίζων τῇ τῶν λόγων σου σάλπιγγι

.... = Dg 127-131

Τῷ τῶν δογμάτων πτύῳ ἀπέρριψας
τοῦ Ἀρείου πλάνην ὡς ἄχυρον,
εἰς τὰς ἐμψύχους, πάτερ, ἀποθήκας
συνάγων τὸν σῖτον τῆς πίστεως.

θεοτ. Τὴν τοῦ Θεοῦ μητέρα τὴν ἄχραντον
121 παρθένον μετὰ τόκον ὑμνήσωμεν
ἐν πίστει κραυγάζοντες· θεοτόκε,
δυσώπει τοῦ σωθῆναι τοὺς δούλους σου.

ᾠδὴ η'. *Τὸν μόνον ἄναρχον*

124-132 Ῥάβδῳ σοφίας σου

.... = Dg 142-149

133-140 Ἐξ οὐρανίου σὺ

.... = Dg 150-157

f. 127v 141-148 Ὁμολογίᾳ σου

.... = Dg 158-165

θεοτ. Τὸν μόνον ἄναρχον
150 προαιώνιον Λόγον,
τὸν ἐκ παρθένου τεχθέντα ἀσπόρως
καὶ σώσαντα
τῶν ἀνθρώπων τὸ γένος,
ὑμνεῖτε ἱερεῖς,
155 λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

118 post τὰς usque finem canonis desiderantur in Σ 123 σῶσαι Πj Πl
heirm. η' EE 204, n. 289, Germani 141 Ὁμολογίας σου Πj Πl
149 ἄναρχον] εὔσπλαγχνον Πj Πl 151 τεχθέντα] γεννηθέντα Πj Πl 154-156 cdd. varie contrahunt orationem

ᾠδὴ θ'. *Τὴν ὑπὲρ φύσιν μητέρα*

157-161 Τὸν ἐν τῷ γράμματι βότρυν
.... = Dg 174-178

162-166 Ῥομφαίαν δίστομον φέρων
.... = Dg 179-183

167-171 Κλητήν, ἁγίαν ἡμέραν
.... = Dg 184-188

θεοτ. * Ἡ ἐν γαστρὶ συλλαβοῦσα
τὸν ἀπερίληπτον Λόγον
καὶ τοῦτον ἄνευ σπορᾶς
175 ἡμῖν τεκοῦσα, ἱκέτευε ἐκτενῶς
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

---

heirm. θ' EE 203, n. 287, Germani 172-176 θεοτ. TR 438, necnon NS 28 (1933) 401 175 ἡμῖν] σαρκὶ TR, idem om. NS

IN SANCTUM EUSTATHIUM PATRIARCHAM ANTIOCHIAE

Paris. gr. 1567 = Rb, ff. 10v-11v
Vat. gr. 1515 = Vr, ff. 241v-242v
Mess. gr. 136 = Mf, ff. 149v-153

Ὁ κανών.

Ἦχος βαρύς.

ᾠδὴ α'. *Τῷ συνεργήσαντι Θεῷ*
Μωυσεῖ ἐν Αἰγύπτῳ ἐξαγαγεῖν τὸν Ἰσραὴλ
αὐτῷ μόνῳ ᾄσωμεν,
ὅτι δεδόξασται.

1-4 Τὴν τῶν πατέρων κορυφὴν
.... = Dg 1-4

5-8 Πρόμαχος πίστεως φανεὶς
.... = Dg 5-8

9-12 Ἐπιτελοῦντες ἐν ᾠδαῖς
.... = Dg 13-16

θεοτ. 13-16 Ἡ διὰ λόγου ἐν σαρκὶ
.... = Dg 17-20

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ· φθέγξομαι γὰρ
μεγαλουργίαν Θεοῦ καὶ ἀνυμνήσω

---

heirm. α' EE 202, n. 287, Germani; necnon Vr heirm. integrum refert (4 ἐνδόξως γὰρ δεδόξασται EE) 9-12 Vr diversum trop. praebet, cf. Dg vv. 9-12 (Στόμα τοῦ Λόγου γεγονώς); idem trop. deest in Mf
heirm. β' EE 204, n. 290, Andreae; odem β' om. Vr Mf

τὴν ἐκ παρθένου ἐπ' ἐσχάτων
5 *ἀναλλοίωτον σάρκωσιν.*

17-21 Τῷ ῥεύματι
.... = Dg 21-25

22-26 Ἐξώρισας
.... = Dg 26-30

27-31 Τὴν ὕπαρξιν
.... = Dg 31-35

θεοτ. 32-36 Πεπλήρωνται
.... = Dg 41-45

ᾠδὴ γ'. *Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ,*
ὑψώθη κέρας μου ἐν Θεῷ μου,
ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου.

37-39 Ῥομφαίαν
.... = Dg 46-51

40-42 Ἐνθέως
.... = Dg 52-57

43-45 Πρωτεύων
.... = Dg 58-63

θεοτ. 46-48 Ἐτέχθης
.... = Dg 64-69

. 11 ᾠδὴ δ'. *Ἐκάλυψεν οὐρανούς, Χριστὲ ὁ Θεός,*
ἐν τῇ σῇ οἰκονομίᾳ
ἡ ἀρετὴ τῆς ἀφράστου σου σοφίας, φιλάνθρωπε.

49-51 Τῆς γνώσεως τοῦ Χριστοῦ τὸν ἄνθρακα
.... = Dg 70-73

(4 τὴν ἐπ' ἐσχάτων ἐκ παρθένου EE)
heirm. γ' EE 201, n. 285, Joannis; idem EE 203, n. 289, Germani (3 καὶ ἐπλατύνθη EE); heirm. integrum tradunt cdd., sed in Mf sonat: Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ, / ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου· / διὸ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν. 43-45 vv. in Mf desunt
heirm. δ' EE 203, n. 288, Germani; heirm. integrum proferunt cdd., qui autem in nonnullis differt verbis

52-54 Τῆς πίστεως συγκροτῶν τὰ τρόπαια
.... = Dg 74-77

55-57 Τῶν φθόγγων σου ἡ λαμπὰς ὡσεὶ ἀστραπὴ
.... = Dg 78-81

θεοτ. 58-60 Ἱκέτευε τὸν ἐκ σοῦ τεχθέντα Θεὸν
.... = Dg 82-85

ᾠδὴ ε'. *Ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σέ, ὁ Θεός,*
διότι φῶς καὶ τὰ σὰ προστάγματα
ἐγένοντο ἰάματα
τοῖς δούλοις σου, φιλάνθρωπε.

61-64 Ἱστῶντες χοροστασίας πνευματικὰς
.... = Dg 86-89

65-68 Τὸν ζόφον μειώσας τῶν αἱρέσεων
.... = Dg 90-93

69-72 Τοῖς ὅπλοις φραττόμενοι, Εὐστάθιε,
.... = Dg 94-97

θεοτ. 73-76 Τὸν Λόγον συνέλαβες ἐν μήτρᾳ σου
.... = Dg 98-101

ᾠδὴ ς'. *Ὁ Ἰωνᾶς*
ἐκ κοιλίας Ἅιδου ἐβόα

77-81 Τῶν λόγων σου
.... = Dg 102-106

82-86 Ἀπέρριψας
.... = Dg 107-111

87-91 Ἐν ἀρετῇ
.... = Dg 112-116

55-57 trop. in Mf deest
heirm. ε' EE 203, n. 287, Germani; heirm. integrum pr[illegible]nt cdd. (2 καὶ τὰ om. EE) 69-72 trop. om. Mf
heirm. ς' EE 201, n. 284, Joannis 82-86 trop. om. Mf

158-162 Ῥομφαίαν δίστομον φέρων
.... = Dg 179-183

163-167 Κλητήν, ἁγίαν ἡμέραν
.... = Dg 184-188

168-172 Ἐν κροσσωτοῖς, θεομῆτορ,
.... = Dg 189-193

163 Κλητήν] Νῦν τὴν Vr

IN SANCTUM TIMOTHEUM IN SYMBOLIS

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Τιμοθέου τοῦ ἐν Συμβόλοις. Οὗτος ὁ μακάριος ἐξ ἁπαλῶν ὀνύχων τὸν μονήρη βίον ὑποδύς, δι' ἐγκρατείας πολλῆς καὶ συντόνου δεήσεως τῶν παθῶν τὰ σκιρτήματα ἐξαφανίσας καὶ ἀπαθὴς γενόμενος, δοχεῖον ὤφθη τοῦ ἁγίου Πνεύματος, παρθένος ἕως τέλους καὶ ψυχῇ καὶ σώματι διαμείνας. Γυναῖκα οὐδέποτε εἰς ὄψιν ἐλθεῖν ἠθέλησεν ὁ ἐν ὄρεσι διαιτώμενος καὶ ἐν ἐρήμοις αὐλιζόμενος, τῶν δακρύων τῇ δρόσῳ τὴν ψυχὴν αὐτοῦ ἤρδευσεν· ὅθεν καὶ χαρίσματα ἰαμάτων ἔλαβε· δαίμονας γὰρ ἐξ ἀνθρώπων ἀπήλασε καὶ πᾶσαν ἄλλην νόσον ἐθεράπευσεν. Οὕτω βεβιωκὼς ἐν γήρᾳ καλῷ καταλύει τὸν βίον καὶ πρὸς κύριον ἐκδημεῖ (= A. Arcudii, Νέον Ἀνθολόγιον, Ἐν Ῥώμῃ 1598, τμγ').

Paris. gr. 255	= Pk,	ff.	197-199
Crypt. Δ.α. XVI	= Ci,	ff.	111-114v
Sinait. gr. 602	= Σλ,	ff.	113v-116v
Sinait. gr. 597	= Σ,	ff.	163-166
Patm. 793	= Πj,	ff.	114-117v
Patm. 857	= Πl,	ff.	147v-155
Reg. gr. 54	= Lm,	ff.	70v-71
Athen. 592	= Ga,	ff.	249-256v

Μηνὶ τῷ αὐτῷ κα'. Τῶν ὁσίων πατέρων ἡμῶν Τιμοθέου τοῦ ἐν Συμβόλοις καὶ Εὐσταθίου ἐπισκόπου Ἀντιοχείας τῆς Μεγάλης... Ὁ κανὼν Pk

Μηνὶ Φεβρουαρίῳ κα'. Τοῦ ὁσίου Τιμοθέου τοῦ ἐν Συμβόλοις ... Ὁ κανὼν Ci; idem cd., alternatis odis, duos canones praebet: priorem, mutilum, quem huc referimus; alterum inc. Σὲ τὸν νοητὸν ἀστέρα, de quo cf. MR III, 630-634.

Μηνὶ τῷ αὐτῷ κα'. Τοῦ ἁγίου καὶ θαυματουργοῦ Τιμοθέου τοῦ ἐν τοῖς Συμβόλοις καὶ ἡ εὕρεσις τῶν λειψάνων τῶν ἁγίων μαρτύρων τῶν ἐν τοῖς Εὐγενίου ... Ὁ κανὼν τοῦ ὁσίου καὶ θαυματουργοῦ Τιμοθέου τοῦ ἐν τοῖς Συμβόλοις Σλ

Μηνὶ τῷ αὐτῷ κα'. Τοῦ ὁσίου καὶ θαυματουργοῦ πατρὸς ἡμῶν Τιμοθέου τοῦ ἐν τοῖς Συμβόλοις... Ὁ κανὼν τοῦ ὁσίου Τιμοθέου Σ

Μηνὶ τῷ αὐτῷ κα'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Τιμοθέου τοῦ ἐν Συμβόλοις καὶ τοῦ ἁγίου Εὐσταθίου Ἀντιοχείας... Κανὼν τοῦ ἁγίου Τιμοθέου Πj

Τῷ αὐτῷ μηνὶ κα'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Τιμοθέου τοῦ ἐν Συμβόλοις καὶ τοῦ ἁγίου Εὐσταθίου Ἀντιοχείας... Κανὼν τοῦ ἁγίου Τιμοθέου (idem cd. duos canones, alternatis odis, praebet: alter canon ἕτερος κανὼν τοῦ ἁγίου Εὐσταθίου inc. Τὴν τῶν πατέρων κορυφήν, de quo cf. canonem XXV) Πl

θεοτ. 92-96 Ὃν ἔτεκες
.... = Dg 117-121

ᾠδὴ ζ'. *Κάμινον καιομένην*
ἐδρόσισας, σωτήρ,
παῖδας διέσωσας
ἀνυμνοῦντας καὶ λέγοντας·
5 *« εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας, κύριε,*
ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν ».

Τοῦ πνεύματος τῇ χάριτι
ἡ σὴ καταυγασθεῖσα
διάνοια, μακάριε,
100 ἐκήρυξε Τριάδα τοῖς ἐκβοῶσιν·
« εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας, κύριε,
ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν ».

Ἄρειον κατήσχυνας
νευραῖς τῶν σῶν δογμάτων
105 καὶ πάντας κατεφώτισας
βοᾶν ἐν παρρησίᾳ·
« εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας, κύριε,
ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν ».

Πρεσβείαις δυσωπούμενος,
110 σωτήρ, τοῦ ἱεράρχου

Post odem ς' Vr tradit: Κάθισμα. Ἦχος πλ. α'. *Χορὸς ἀγγελικὸς* Ὁμότιμον πατρὶ ... ... = Dg post odem γ'; Mf vero praebet: Κάθισμα. Ἦχος γ'. *Τὴν ὡραιότητα* Τὸν ὁμοούσιον πατρὶ καὶ πνεύματι / Λόγον ἐκήρυξας, / πάτερ Εὐστάθιε, / καὶ τὸν παράφρονα στερρῶς / νευραῖς τῶν δογμάτων σου / Ἄρειον κατέπνιξας / βλασφημοῦντα ἀθέμιτα· / ὅθεν συνηρίθμησαι / τοῖς χοροῖς ἀγαλλόμενος / τῶν θείων θεηγόρων πατέρων, / μεθ' ὧν ἡμῶν μνήσθητι.

heirm. ζ' EE 204, n. 289, Germani (3 παῖδας δὲ διέσωσας Mf παῖδας περιέσωσας EE 4 ὑμνοῦντας καὶ βοῶντας Mf ὑμνοῦντας καὶ λέγ. EE 5-6 post εὐλογητὸς varie contrahunt laudem cdd.) Vr heirm. his substituit vv.: Κάμινον παῖδες / πυρίφλεκτον πάλαι / δροσοβολοῦσαν ὑπέδειξαν, / ἕνα Θεὸν ὑμνοῦντες καὶ λέγοντες· / « ὁ ὑπερυψούμενος / τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος (= EE 198, n. 280, Joannis 2 πῦρ ἄφλεκτον Vr 3 δροσοβολοῦσα ὑπέδειξεν Vr 6 v. om. Vr); heirm. trop. minime aptantur — 97 τῇ om. Vr 101-102, 107-108, 113-114 cdd. varie intermittunt laudem 105 καὶ om. Vr 109-114 trop. deest in Mf

εἰρήνευσον τὸν κόσμον σου
καὶ σῶσον τοὺς βοῶντας·
« εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας, κύριε,
ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. 115 Περίσῳζε τὴν ποίμνην σου,
πανάχραντε παρθένε,
ἐκ πάσης περιστάσεως
ὡς μόνη προστασία
τοῦ γένους ἡμῶν, εὐλογημένη
120 θεοτόκε πανύμνητε.

f. 11v || ᾠδὴ η'. *Τὸν μόνον ἄναρχον*

121-128 Ῥάβδῳ σοφίας σου
.... = Dg 142-149

129-136 Ἐξ οὐρανίου σου
.... = Dg 150-157

137-144 Ὁμολογίᾳ σου
.... = Dg 158-165

θεοτ. 145-152 Τὸ κέρας ὕψωσον
.... = Dg 166-173

ᾠδὴ θ'. *Τὴν ὑπὲρ φύσιν μητέρα*
καὶ κατὰ φύσιν παρθένον,
τὴν μόνην ἐν γυναιξὶν
εὐλογημένην, ᾄσμασιν οἱ πιστοί,
5 *θεοτόκε, μεγαλύνομεν.*

153-157 Τὸν ἐν τῷ γράμματι βότρυν
.... = Dg 174-178

---

heirm. η' EE 204, n. 289, Germani 137-144 trop. om. Mf 137 Ὁμολογίας σου Rb Vr

heirm. θ' EE 204, n. 287, Germani; heirm. integrum [illegible] necnon Vr praebent (4 οἱ πιστοὶ] μυστικοῖς EE 5 θεοτόκε] οἱ πισ[illegible] EE καταχρέως Vr)

Ὁ κανών.
⟨Ποίημα⟩ Θεοφάνους.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἄισμα*
ἀναπέμψωμεν, λαοί,
τῷ θαυμαστῷ Θεῷ ἡμῶν

Αἴγλῃ
φωτιζόμενος ἀεὶ
τῆς ἀνεσπέρου χάριτος
νοῒ κεκαθαρμένῳ,
5 Τιμόθεε, εὐχαῖς σου
τὸν νοῦν μου καταύγασον
τὴν ἀχλὺν τῶν παθῶν μου
ἀπελαύνων,
ὅπως σε ὑμνήσω.

10 Κόσμου
ματαιότητα λιπὼν
ὑπερκοσμίου γέγονας
ἐραστὴς πολιτείας
καὶ ἄσαρκος καθάπερ
15 ἐβίωσας, ὅσιε,
ἁμαρτίας τὴν ὕλην
καταφλέξας
πυρὶ ἐγκρατείας.

Μηνὶ τῷ αὐτῷ κα'. Τοῦ ὁσίου καὶ θαυματουργοῦ Τιμοθέου τοῦ ἐν Συμβόλοις ... Ὁ κανὼν Lm

Μηνὶ τῷ αὐτῷ κα'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Τιμοθέου τοῦ ἐν Συμβόλοις ... Εἰς τὸν ὄρθρον ὁ κανὼν Ga

Canonem mutilum praebent cdd., nam odes ϛ'-θ', illi conjunctae, ad alterum canonem — cuius acrostichis Σὲ τῶν μοναστῶν τὸ κλέος μέλπω, μάκαρ et initium Σὲ τὸν νοητὸν ἀστέρα (= MR III, 630-634) — pertinent

Nomen Θεοφάνους in margine cdd. Σλ Ga legitur

heirm. α' EE 225, n. 323, Germani   Lm tantum odem α' et Ga tantum odes α'-γ' inediti canonis tradunt, nam ceterae odes in MR III, 630-634 editae sunt   4 κεκαθαρμένος Σ   13 v. om. Σ

Στάσιν
20 τὴν παννύχιον τὴν σὴν
ἐθαύμασαν μὲν ἄνθρωποι
ὑπὲρ ἄνθρωπον οὖσαν,
ἐπῄνεσαν δὲ πλέον
οὐράνιοι ἄγγελοι
f. 197v τὴν αὐτῶν σε ζη||λοῦντα
26 καθορῶντες
ἐν γῇ πολιτείαν.

θεοτ. Πύλη
τοῦ φωτὸς τοῦ νοητοῦ,
30 δι' ἧς, ὡς οἶδε, δέσποινα,
εἰσῆλθε καὶ ἐξῆλθε,
διάνοιξόν μοι πύλας
ἐξομολογήσεως
καὶ εἰλικρινεστάτης
35 μετανοίας
τῇ σῇ προστασίᾳ.

ᾠδὴ γ'. *Οὐρανίας ἁψῖδος*

Προνεώσας τοῖς πόνοις
τὴν ψυχικὴν αὔλακα
ταύτῃ κατεβάλου τὰ θεῖα σπέρματα, ὅσιε·
40 ὅθεν ἐξήνθησας
ἑκατοστεύοντα στάχυν
ἀρετῶν, θαυμάτων τε,
μάκαρ Τιμόθεε.

---

25 ἑαυτῶν Il   28-36 θεοτ. om. Ci; idem θεοτ. in canonem XXI, vv. 25-32 habeas. Σ hoc diversum θεοτ. refert: Ὡς μόνην / τὸν τοῦ κόσμου ποιητὴν / καὶ τοῦ πατρὸς συνάναρχον / Λόγον χωρέσασαν / ὑμνοῦμέν σε, παρθένε, / ἀπαύστως βοῶντές σοι / ἅμα τῷ ἀρχαγγέλῳ· / « χαῖρε, μήτηρ Θεοῦ τοῦ ὑψίστου »; Σλ Ij Il aliud θεοτ. praebent cuius initium sonat: Χαίροις, / ὁ πανάγιος ναὸς = MR I, 564. In Ga vero dissimile θεοτ. legimus inc. Κλῖμαξ ἀν[illegible]χθης νοητὴ

heirm. γ' EE 220, n. 315, Joannis; Οὐρανίης ἁψ. Ci   39 ταύτην Ci   42 τε] σε Pk   43 μάκαρ] πάτερ Ij Il

---

41 Luc. 8,8

Πειρασμῶν ἐναντίων
45 οἱ ποταμοὶ ῥεύσαντες
ἐπὶ τὴν οἰκίαν, Τιμόθεε, τῆς καρδίας σου,
ταύτην οὐκ ἔσεισαν·
ὑπομονῆς γὰρ ἐν πέτρᾳ,
ἀρραγοῦς ἀγάπης τε,
50 πάτερ, ἐστήρικτο.

* [Ἐπεγνώσθης κυρίῳ
τῷ τὰ κρυπτὰ βλέποντι
καὶ ἀσκητικῷ νόμῳ, πάτερ, ἀγωνιζόμενος,
σάρκα ἐνέκρωσας
55 σκληραγωγίαις παντοίαις
καὶ ζωὴν ἀπείληφας
διαιωνίζουσαν.]

θεοτ. * [Νοερῶς ἐμυεῖτο
προφητικὸς σύλλογος
60 σοῦ τὰ μεγαλεῖα, παρθένε· ὅθεν ἐκάλει σε
ὄρος κατάσκιον
καὶ ἀδιόδευτον πύλην
καὶ γῆν ἀγεώργητον,
θεοχαρίτωτε.]

Κάθισμα.

Ἦχος δ. *Ταχὺ προκατάλαβε*

* Παρθένος τῷ σώματι
ἀναδέδειξαι,

---

47 ἔσισας Σ 51-64 trop. expungenda cum ad canonem in s. Agapetum dicatum pertinent, cf. PKV 134; 51-57 trop. om. Ci Σλ Σ Πj Πl 58-64 θεοτ. om. Ci; idem θεοτ. his substituunt vv. Σλ Σ: Γένος σέσωσται, κόρη, / τὸ τῶν βροτῶν χάριτι / τοῦ ἐκ τῆς γαστρός σου / ἀρρήτως σάρκα πτωχεύσαντος· / ὅθεν γεραίρει σε / καὶ εὐσεβῶς μακαρίζει, / παναγία δέσποινα / θεοχαρίτωτε. Pro hoc Πj Πλ praebent: Προστασίαν καὶ σκέπην ..., cf. MR II, 144 (eius θεοτ. tantum duos vv. tradit Πj)

Κάθ. MR III, 631; idem post odem ς′ refert Ci 2 σὺ ἀναδέδειξαι MR

44-50 Matth. 24-25 52 Matth. 6,6 61 Hab. 3,3

πιστὸς τῷ ποιήσαντι πεφανέρωσαι,
πατὴρ ἡμῶν ὅσιε·
5 ὅθεν καὶ συνευφραίνῃ
ταῖς φρονίμοις παρθένοις,
πίστει δὲ συγχορεύεις
τοῖς ὁσίοις πατράσιν,
ἡμῖν δὲ ἐπιφαίνεις
10 βρύων τὰ θαύματα.

ᾠδὴ δ′. *Σύ μου, Χριστέ, κύριος, σύ μου καὶ δύναμις*

65 Μέτρον ἡ σὴ
στάσις οὐκ ἔσχε παννύχιος·
ὁ γὰρ θεῖος ἔρως σε ἠρέθιζε
λήθην τῆς φύσεως ἐμποιῶν
καὶ τὰ ὑπὲρ φύσιν
70 τελεῖν σε καταναγκάζων ἀεί·
ἐντεῦθέν σε παντοίοις
κατεπλούτισε χάρις
ἡ τοῦ πνεύματος, πάτερ, χαρίσμασιν.

Αἱρετικοῦ
75 κλύδωνος ὤφθης ἀνώτερος,
ἀσεβῶν τε, πάτερ, δυνατώτερος

---

3 σὺ πεφανέρωσαι MR 7 πᾶσι τὲ συναγάλλει Ci 9 ἐπεφάνης MR ἀεὶ post ἐπιφαίνεις add. Ci

In Πl Ga post odem γ′ et in Σλ Σ ante canonem invenimus: Κάθισμα. Ἦχος α′. *Τὸν τάφον σου, σωτήρ.* Τιμήσας τὸν Θεόν, / παρ' αὐτοῦ ἐτιμήθης, / δοξάσας τὸν Χριστόν, / ὑπ' αὐτοῦ ἐδοξάσθης, / σημείοις καὶ τέρασι διαλάμψας, Τιμόθεε· / ὅθεν σήμερον[1] / τὴν παναγίαν σου μνήμην / ἑορτάζοντες, / ἁμαρτημάτων τὴν λύσιν / εὐχαῖς σου λαμβάνομεν ([1] post σήμερον Σλ Σ Ga tradunt: ἡ εὐκλεὴς Ἐκκλησία / ἑορτάζει σου / τὴν ὑπερένδοξον μνήμην, / πατὴρ ἡμῶν ὅσιε); in Ga post κάθ. legimus: θεοτ. Συγχάρητε, / βροτοί, τῇ ἁγίᾳ παρθένῳ[1], / αἰνέσατε αὐτὴν / οὐρανῶν αἱ δυνάμεις, / δοξάσατε τὴν ἄχραντον / κιβωτὸν τὴν ὑπέραγνον[2]· / δεῦτε, ἅπαντες / τῶν φιλεόρτων οἱ δῆμοι, / « χαῖρε[3]» εἴπωμεν / τῇ θεοτόκῳ συμφώνως / πιστῶς εὐφραινόμενοι (= MR IV, 280 1 τῇ Μητρὶ τοῦ Κυρίου MR 2 οἱ τῆς γῆς βασιλεύοντες MR 3 χαίροις MR); σταυροθεοτ. Ὡς εἶδεν ἐν σταυρῷ ἡ ἀμνάς ... = MR IV, 274

heirm. δ′ EE 219, n. 314, Joannis 70 καταναγκάζων et ex correct. καταναγκάζωντος Σλ 73 ἡ] τῇ Σ 76 θεοφόρε ἔνδοξε τιμόθεε Πj Πl

---

6 (καθ.) Matth. 25,2 75 Luc. 8,24

καὶ τοὺς αὐτῶν λόγους καὶ πληγὰς
ὥσπερ θαλαττίους
σπιλάδας, μάκαρ, λελόγισαι·
80 Χριστοῦ γὰρ τῇ παλάμῃ
κυβερνώμενος ἦσθα,
ὑπὲρ οὗ καὶ τὸ πάσχειν προῄρησαι.

198 * || [Γεηπονῶν
φρένας ἀνθρώπων ὡς λήια
85 σιτοφόρα ταύτας ἀπετέλεσας,
ὡς γεωργὸς πάντων τῶν καλῶν,
πρόρριζον δὲ πᾶσαν
τὴν ἁμαρτίαν ἐξέτεμες
καὶ ἔδειξας πολίτας
90 οὐρανῶν τοὺς πιστῶς σου
δεχομένους τὸν λόγον, μακάριε.]

θεοτ. * [Ἡ ἀπὸ γῆς
πρὸς οὐρανὸν τὸ ἀνθρώπινον
τοκετῷ σου ξένῳ ἀνυψώσασα,
95 ἀπὸ κοπρίας παθῶν σαρκὸς
ὕψωσον τὸν νοῦν μου
τῇ ἁμαρτίᾳ πτωχεύσαντα,
ἁγία θεοτόκε,
ἡ πτωχεύσαντα κόσμον
100 ἀγαθῶν ἐπιδόσει πλουτίσασα.]

ᾠδὴ ε΄. *Ἵνα τί με ἀπώσω*

Σὲ ὡς ὥριμον σῖτον,
πλήρη ἡμερῶν τε τοῦ πνεύματος, ὅσιε,

77 πληγὰς] πηγὰς Ci 81 οἶσθα Pk 82 προείρησο Ci προήρησο Σλ Πl προήρισω Σ 83-100 trop. expungenda, cf. PKV 135 83-91 trop. om. Ci Σλ Σ Πj Πl 92-100 θεοτ. om. Ci; pro hoc θεοτ. Σλ Σ praebent: Θεὸν ἐκ σοῦ τὸν σαρκωθέντα..., cf. MR III, 269; Πj Πl autem exhibent; Σὺ τῶν πιστῶν καύχημα πέλεις..., cf. MR I, 293 (Πj tantum duos primos vv. refert) 92 Ἡ] Ὁ Pk 95 ἀπὸ κοπρ. σαρκὸς παθῶν PKV
heirm. ε΄ EE 219, n. 314, Joannis 102 πλήρης ἡμερῶν τῶν τοῦ πνεύματος ὅσιε Ci Σλ Σ Πj Πl (πλήρις Σ)

79 Jud. ep. 12 101 Marc. 4,28 102 Act. 6,3

γεωργὸς ὁ μέγας
ἐν ἀσύλοις ταμείοις ἀπέθετο,
105 οὗ ἀπέδρα λύπη καὶ στεναγμός,
ἔνθα ὁσίων
καὶ δικαίων ὑπάρχει τὰ πνεύματα.

Ἡ πραεῖα καρδία,
ὁ τῆς διακρίσεως λύχνος ὁ ἄσβεστος,
110 τὸ Χριστοῦ ἀρνίον
τὸ τῇ χλόῃ τραφὲν τῆς ἀσκήσεως,
τῶν θαυμάτων ⟨ἡ⟩ βρύσις, τῶν ἀσκητῶν
ἡ ὡραιότης,
ὁ κλεινὸς εὐφημείσθω Τιμόθεος.

115 * [Τῶν δρακόντων τὰς κάρας
ἔθλασας καὶ τέλειον τούτους ἀπώλεσας
καταισχύνας, πάτερ,
βασιλέα παράνομα πράττοντα,
Δανιὴλ ὡς πάλαι ὁ θαυμαστὸς
120 ἐν τοῖς προφήταις,
θεοφόρε θεόφρον Τιμόθεε.]

θεοτ. * [Ὑπερύμνητον Λόγον
τέτοκας, πανύμνητε, σάρκα γενόμενον,
ἀλλὰ δέομαί σου
125 ἀνυμνοῦντα τὴν σὴν ἀγαθότητα
καινοποίησόν μου τὸν λογισμὸν
σεσαθρωμένον
καὶ καλῶν ἐργασίαις ἐκλάμπρυνον.]

107 πνεύματα] τάγματα Ci Πj 110 τὸ] τοῦ Pk Σλ 112 ἡ ipse inserui 114 Τιμόθεος] θεότιμος Σ 115-128 trop. expungenda, cf. PKV 135-136 115-121 trop. om. Ci Σλ Σ Πj Πl 119 ὁ om. Pk 121 Τιμόθεε] πανόλβιε PKV 122-128 θεοτ. om. Ci; in Σλ Σ diversum θεοτ. invenimus inc.: Οἱ σὲ τεῖχος πλουτοῦντες, cf. MR III, 270; in Πj Πl vero: Μητρικὴν παρρησίαν, cf. MR III, 283 (tantum initium θεοτ. tradit Πj) 128 ἐργασίαις] ἐνεργείαις PKV

103 Joh. 15,1 104 Cant. 1,4; Matth. 6,6 109-110 Apoc. 21,23 119 Dan. 6,18

ᾠδὴ ϛ'. *Ἱλάσθητί μοι, σωτήρ,*

[*Καλῶς σου διατηρῶν]
.... = Pk Ci Σλ Σ Πj Πl Lm Ga MR

[*Λιμένι τῷ νοητῷ]
.... = Pk Ci Σλ Σ Πj Πl Lm MR

[*Ἐμάκρυνας ψαλμικῶς]
.... = Pk Ci Σλ Σ Πj Πl Lm Ga MR

[*Οὐκ ἔστιν ὅστις ταῖς σαῖς]
.... = Ci Σλ Ga MR

f. 198ᵛ θεοτ. [*Ὁ νώτοις χερουβικοῖς]
.... = Pk Ci Σλ Σ Πj Πl Lm Ga MR

ᾠδὴ ζ'. *Ὁ δι' ἀγγέλου παῖδας*

[*Σβέσας παθῶν τὴν φλόγα]
.... = Pk Ci Σλ Σ Πj Πl Lm Ga MR

[*Μακαρισμοῦ τοῦ θείου]
.... = Pk Ci Σλ Σ Πj Πl Lm Ga MR

[*Ἐν ἱλαρῷ προσώπῳ]
.... = Pk Ci Σλ Σ Πj Πl Lm MR

[*Λύσιν ἁμαρτημάτων]
.... = Ci Σλ Σ Πj Πl Ga MR

θεοτ. [*Λελυτρωμένοι πάντες]
.... = Pk Ci Σλ Σ Lm Ga MR

ᾠδὴ η'. *Ὁ στεγάζων ἐν ὕδασιν*

[*Παθοκτόνος γεγένησαι]
.... = Pk Ci Σλ Σ Πj Πl Lm Ga MR

heirm. ϛ' EE 220, n. 315, Joannis
heirm. ζ' EE 228, n. 326, Andreae
heirm. η' EE 228, n. 327, Andreae

[*Ὡς θυμίαμα, ὅσιε,]
.... = Pk Ci Σλ Σ Πj Πl Lm Ga MR

[*Μισοπόνηρος, ἄκακος]
.... = Pk Ci Σλ Σ Πj Πl Ga MR

θεοτ. [*Μόνην σε ἐξελέξατο]
.... = Pk Ci Σλ Σ Πj Πl Lm Ga MR

f. 199 ᾠδὴ θ'. *Εὐλογητὸς κύριος*

[*Ἁγιωσύνης τέμενος]
.... = Pk Ci Σλ Σ Πj Πl Lm Ga MR

[*Κατακαυχᾶσθαι ἔλεον]
.... = Pk Ci Σλ Σ Πj Πl Lm MR

[*Ἀπὸ τῆς γῆς ἐχώρησας]
.... = Pk Ci Σλ Σ Πj Πl Lm Ga MR

[*Ῥεῖθρα ἡμῖν ἑκάστοτε]
.... = Ci Σλ Σ Πj Πl Ga MR

θεοτ. [*Ῥήμασι σοῖς ἑπόμεναι]
.... = Pk Ci Σλ Σ Πj Πl Lm Ga MR

heirm. θ' EE 228, n. 327, Andreae

23 FEBR. *CANON* XXVII

IN SANCTUM POLYCARPUM EPISCOPUM SMYRNAE

Synaxarium, 485: Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Πολυκάρπου ἐπισκόπου Σμύρνης. Οὗτος ἐμαθητεύθη τῷ θεολόγῳ καὶ εὐαγγελιστῇ Ἰωάννῃ σὺν Ἰγνατίῳ τῷ θεοφόρῳ καὶ μετὰ Βουκόλον χειροτονεῖται ἐπίσκοπος τῆς Σμυρναίων ἐκκλησίας, προθεσπίσαντος αὐτῷ τὴν ἀρχιερωσύνην τοῦ μακαρίου Βουκόλου. Ἐν δὲ τῷ κατὰ Δέκιον διωγμῷ συλληφθεὶς προσήχθη τῷ ἀνθυπάτῳ καὶ διὰ πυρὸς τὸν ἀγῶνα διήνυσε. Γέγονε δὲ θαυμάτων ἐξαισίων δημιουργός· πρὸ γὰρ τῆς ἀρχιερωσύνης τῆς θρεψαμένης αὐτὸν γυναικὸς τοὺς σιτῶνας ἐπλήρωσε δι' εὐχῆς, οὓς πρότερον εἰς τὴν τῶν δεομένων χρείαν ἐκένωσε. Καὶ πυρὸς καταφλέγοντος ἐπέσχεν ὁρμήν, καὶ μετὰ τὴν τῆς ἱερωσύνης ἀνάρρησιν ὑετὸν δι' ἱκεσίας αὐχμώσῃ τῇ γῇ κατήγαγε καὶ πάλιν τούτου τὴν ἀμετρίαν ἀνέστειλε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Sinait. gr. 602 = Σλ, ff. 132-134ᵛ
Mess. gr. 139 = Ma, ff. 184ᵛ-185ᵛ

Ὁ κανών.

Ἦχος γ'.

ᾠδὴ α'. *Τῷ ῥυσαμένῳ τὸν Ἰσραὴλ ἐκ δουλείας*

Ἡ ὑπερκόσμιος τοῦ θεοφόρου ποιμένος
συγκαλεῖται ἅπαντας σήμερον μνήμη
εὐφραίνουσα τὰς καρδίας τῶν πιστῶν
τοῖς ἱεροῖς αὐτοῦ ἄθλοις ἐτησίως.

5 Ἀθλητικὴν ἀναλαβὼν πολιτείαν,
ὥσπερ ἄλλου πάσχοντος, ἐνεκαρτέρεις,

---

tit. Ἕτερος κανὼν εἰς τὸν ἅγιον ἱερομάρτυρα Πολύκαρπον Σλ; nomen Γερμ<ανοῦ> in margine cd. Σλ legimus
heirm. α' EE 78, n. 110, Germani; heirm. α', γ', ς' ac θ' integros tradit Ma 1-4 trop. om. Ma 5 Ἀθλητικὸν Σλ Ἀναλαβὼν ἀθλ. πολ. Ma

---

6 IV Macc. 14,9

ἀοίδιμε, ταῖς βασάνοις τῶν ἐχθρῶν·
διὸ καὶ θῦμα Θεῷ ἀφιερώθης.

Ἐν τῷ πυρὶ τῆς τοῦ κυρίου ἀγάπης,
10 μάρτυς ἱερώτατε, ὁλοκαυτώσας
τὸ φρόνημα τῆς σαρκός σου λογικῶς
διπλοῦν ἐδέξω τὸν στέφανον τῆς νίκης.

Τὴν ἱερὰν κατακοσμήσας στολήν σου
αἵμασιν ἐπίκοιλας τοῦ μαρτυρίου,
15 τὰ στίγματα καὶ τοὺς ἄθλους ἐν αὐτῇ
σκιογραφήσας, σοφὲ ἱερομύστα.

τριαδ. Σὺν τῷ πατρὶ καὶ τὸν υἱὸν προσκυνοῦμεν
καὶ τὸ Πνεῦμα λέγοντες· « Τριὰς ἁγία,
ἐπάκουσον τῶν βοώντων σοι πιστῶς,
20 ἡ ἐν τριάδι μονάς, ἐλέησον ἡμᾶς ».

θεοτ. Τὴν μητέρα σου, Χριστέ, θεοτόκον
οἱ πιστοὶ δοξάζομεν ἀκαταπαύστως
ὡς πρεσβεύουσαν ὑπὲρ πάντων ἡμῶν
τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

25 Ἀνέτειλεν
ἡ ἐτήσιος μνήμη
τοῦ ἱεράρχου ὡς ἥλιος ἐν κόσμῳ.

Ἐπλούτησας
τὴν ἀνόθευτον πίστιν,
f. 132ᵛ 30 ‖ ἱεροφάντορ, τῇ γνώσει τῆς Τριάδος.

Πηγάζουσιν
οἱ κρουνοὶ τῶν αἱμάτων
τοῦ ἱεράρχου τεράστια μεγάλα.

---

odem β' om. Ma
heirm. β' EE 78, n. 110, Germani

τριαδ. Ἄναρχε
35 Τριὰς ἡ ἐν μονάδι,
τοὺς σὲ ὑμνοῦντας περίσῳζε κινδύνων.

θεοτ. * Ἄχραντε
θεοτόκε παρθένε,
ὑπὲρ τοῦ κόσμου ἱκέτευε ἀπαύστως.

ᾠδὴ γʹ. *Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ*

40 Τῇ μηχανῇ τῆς πίστεως, θεοφόρε,
λογικῶς τὴν πλάνην πολιορκήσας
τὰς ἑλεπόλεις κατέλυσας τῶν αἱρέσεων.

Ὥσπερ κριὸς ἐπίσημος, ἱεράρχα,
τῷ πυρὶ προσέδραμες τῶν βασάνων
45 δεκτὴ θυσία γενόμενος καὶ ἱερεῖον Θεοῦ.

Ὡς νοητὸν θυμίαμα τὰς εὐχάς σου
τῷ Χριστῷ προσήγαγες, ἱεράρχα,
ἐν τῷ πυρὶ τῆς ἀγάπης σου ὁλοκαυτώσας τὸν νοῦν.

τριαδ. Χερουβικῶς ὑμνήσωμεν τὴν Τριάδα
50 σὺν ἀγγέλοις κράζοντες ἀσιγήτως·
« ἅγιος, ἅγιος, Τριάς, μονὰς ὁ Θεός ».

θεοτ. * Ἡ τὸν Θεὸν ἐν μήτρᾳ σου δεξαμένη
καὶ τεκοῦσα τοῦτον σεσαρκωμένον,
θεοτόκε, ἱκέτευε τοῦ σωθῆναι ἡμᾶς.

37-39 θεοτ. MR VI, 113
heirm. γʹ EE 78, n. 110, Germani 45 καὶ om. Ma 46-51 troparia om. Ma 52-54 θεοτ. MR VI,113; Ma hoc θεοτ. praebet: Τὴν μητέρα σου, Χριστέ, θεοτόκον / οἱ πιστοὶ δοξάζομεν καταχρέως, / ὅτι οὐκ ἔστιν ἅγιος πλὴν σου, κύριε.

43-45 cfr. EUSEBIUS, *Hist. Eccl.* [ed. G. BARDY, Sources Chrétiennes 31, Paris 1952], IV, xv, 32-33.

---

45 Lev. 19,5

ᾠδὴ δʹ. *Τὴν ἀκοήν σου, κύριε,*
εἰσακήκοα καὶ ἐφοβήθην

55 Ἱεραρχίας ἔνδυμα
καὶ πανάγιον χρῖσμα ἐδέξω,
Πολύκαρπε ἱεράρχα, μάρτυς κυρίου·
διὸ καὶ αἵματι τοῦ μαρτυρίου
κατεκόσμησας ταῦτα
60 ὁλοκαυτωθεὶς ἐν πυρί.

Τὰς θεογράφους, ὅσιε,
τῆς καρδίας σου πλάκας λαξεύσας,
f. 133 ἐχάραξας ἐν αὐταῖς, οὐ || μέλανι βάψας
ἀλλὰ τῷ αἵματι τοῦ μαρτυρίου,
65 τὸν τῆς χάριτος νόμον
δακτύλῳ τοῦ Πνεύματος.

Τοῦ Ἀβραὰμ ἐζήλωσας
τὴν θεόδεκτον, πάτερ, θυσίαν·
ὡς ἄλλον γὰρ Ἰσαὰκ προέθου τὸ αἷμα
70 καὶ ὡς ἀμνὸν προσενέγκας τὸ σῶμα
ὅλος ὡλοκαρπώθης
θυσία δεκτὴ τῷ Θεῷ.

τριαδ. Τριὰς ἁγία, δόξα σοι,
ὁ πατήρ, ὁ υἱὸς καὶ τὸ πνεῦμα,
75 ἡ ἄκτιστος καὶ ὁμόθρονος βασιλεία,
ἡ ἐν τρισὶν ὑμνουμένη προσώποις,
ἐν μιᾷ τῇ οὐσίᾳ,
σῷζε τὰς ψυχὰς ἡμῶν.

---

heirm. δʹ EE 79, n. 111, Germani 55-60 Ma his substituit vv.: Τὸν φωτισμὸν τῆς γνώσεως / ἐν καρδίᾳ σου, πάτερ, ἐκτήσω / καὶ ἔλαμψας ὥσπερ ἥλιος ἐν τῷ κόσμῳ, / μαρμαρυγὰς ἀπαστράψας δογμάτων / τῆς ἀκτίστου Τριάδος, / Πολύκαρπε ὅσιε. 67-84 troparia om. Ma 71 ὁλοκαρπώθης ΣΛ

---

62 Ex. 34,1 66 Ex. 31,18

θεοτ. Ὡς λιμένα εὔδιον
80 καὶ ἐλπίδα ἡμῶν σε ὑμνοῦμεν,
πανάχραντε θεοτόκε, μήτηρ ἁγία
τοῦ κατὰ σάρκα ἐκ σοῦ γεννηθέντος
βασιλέως τῆς δόξης,
Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

ᾠδὴ ε'. *Ὀρθρίζει τὸ πνεῦμά μου*

85 Τῷ μύρῳ τῆς χρίσεως
συνέδραμον τὰ στίγματά σου
καὶ τὸ αἷμά σου, πάτερ·
διὸ καὶ ἑκατέρωθεν
στεφάνους ἀνεδήσω, σοφέ.

90 Ἐν αἵματι βάψας
τὴν ἁγίαν στολήν, πυρὶ δὲ καυθεὶς
τὸ ἁγνότατον σῶμα,
συνθέσεως θυμίαμα
ἐγένου, ἱερώτατε.

τριαδ. 95 Δοξάζω Τριάδα
ὁμοούσιον, τὸν ἕνα Θεόν,
ὑποστάσεσι τρισὶν
τὸν μένοντα ἀσύγχυτον·
τριὰς γὰρ ἡ αὐτὴ καὶ μονάς.

θεοτ. 100 Παρθένε, μὴ παύσῃ
ἱκετεύουσα Θεὸν τὸν ἐκ σοῦ
γεννηθέντα ἐν σαρκὶ
λυτρώσασθαι τὴν πόλιν σου
ἐκ πάσης περιστάσεως.

---

heirm. ε' EE 203, n. 287, Germani (ἦχος βαρύς) 93 συνθέως Ma 95-99 τριαδ. om. Ma 98 ὁ μένων ἀσ. Σλ 103 τὴν πόλιν] τοὺς δούλους Ma

---

90-94 Cfr. EUSEBIUS, *op. cit.*, *ed. cit.*, IV, xv, 27-39.

f. 133v ‖ᾠδὴ ϛ'. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

105 Κόσμον λιπὼν καὶ κοσμοκράτορα
καὶ σαρκὸς ἔξω γενόμενος
συνανεκράθης τῷ Θεῷ,
ὑποτάξας καὶ τὸ φρόνημα
τῷ πνεύματί σου, πάτερ,
110 τὸ τῆς σαρκός,
τὴν ἔχθραν τὴν πρὸς Θεὸν καταργήσας.

Ἐν πυρὶ τοῦ συνειδότος
χωνευτήριον ἐκτήσω, σοφέ,
τοὺς λογισμούς σου ἐν αὐτῷ
115 δοκιμάσας, πάτερ ὅσιε,
καὶ δόκιμον χρυσίον
τὴν καθαρὰν
εὐσέβειαν τῷ Θεῷ προσηγάγω.

Ταῖς ἱκεσίαις τοῦ ἐνδόξου
120 ἱεράρχου σου, Χριστὲ ὁ Θεός,
τὴν σὴν εἰρήνην καὶ ἡμῖν
ὡς φιλάνθρωπος κατάπεμψον
τοῖς πίστει σοι βοῶσιν·
« σῶσον, σωτήρ,
125 ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην ».

τριαδ. * Πατέρα ἅγιον δοξάζω
καὶ υἱὸν ἅγιον σέβω
καὶ πνεῦμα ἅγιον ὑμνῶ,

---

heirm. ϛ' EE 78, n. 110, Germani hoc primum trop. odis ϛ' tradit Ma: Μυσταγωγὸς τῶν οὐρανίων / ἀνεδείχθης, πάτερ ὅσιε, / καὶ θεωρὸς τῶν νοητῶν, / τὴν ἐν γράμματι κειμένην / ἀχλὺν ὡς φῶς ἀνεκάλυψας / καὶ μυηθεὶς / τὰ θεῖα πνευματικῶς καὶ διδάξας. 109 πάτερ] μάκαρ Ma 111 ἔχθραν] ἔχθαν Σλ 112-132 troparia om. Ma 118 προσηγάγω pro προσήγα[illegible]ες cd. 125 θηρὸς τὸν προφήτην om. Σλ 126-132 τριαδ. TR, 368 127 σέβομαι TR

108-111 Rom. 8,6-7 112-118 Dan. 3,22-26

ὁμοούσιον Τριάδα ἁπλῆν,
130 Θεὸν ἕκαστα τούτων,
φῶτα καὶ φῶς
ὡς ἐξ ἡλίου ἑνὸς συνδοξάζω.

θεοτ. Τὸν εἰς τὸ πλήρωμα τοῦ χρόνου
γεννηθέντα ἐκ παρθένου μητρὸς
135 καὶ ἐκ δουλείας καὶ φθορᾶς
λυτρωσάμενον τὸ γένος ἡμῶν
ὑμνοῦμεν καὶ βοῶμεν·
« σῶσον, σωτήρ,
ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην ».

ᾠδὴ ζ′. *Τρεῖς παῖδες ἐν καμίνῳ*
τὴν Τριάδα τυπώσαντες

140 Τὴν φλόγα τῆς καμίνου
τῶν παθῶν κατεμάρανας,
πάτερ ὅσιε, τοῖς σοῖς ἀγωνίσμασιν·
διὸ καὶ μαρτυρίου
κατηξιώθης ἐν πυρὶ
145 τέλος κομίσασθαι.

Τὰ εἴδη τῶν βασάνων
f. 134 ὡς χρυσὸς ἐλογίσ||θη σοι,
τὸν ἀόρατον ὁρῶν ἐνεκαρτέρησας
καὶ κατεπάλαισας τοῦτον
150 καὶ νίκην ἦρας κατ' αὐτοῦ
ἐπιστασίᾳ Χριστοῦ.

Ὡς θρόνῳ τοῦ κυρίου
παρεστώς, πέτερ ὅσιε,

130 ἕκαστον TR 139 τὸν προφήτην om. Σλ
heirm. ζ′ EE 79, n. 111, Germani 140-145 Ma his substituit vv.: Τὰς βάσεις τῆς καρδίας / ἐπὶ πέτραν πηξάμενος / τῶν δογμάτων τοῦ Χριστοῦ, πάτερ ὅσιε, / μυστικῶς ἐπανῆλθες / πρὸς τὴν ἀκρόπολιν, σοφέ, / τῶν γνωστικῶν ἀρετῶν.
146-151 trop. om. Ma 152 Ὡς] Τῷ Ma

τῶν τελούντων σου πιστῶς τὸ μνημόσυνον
155 μνημονεύων μὴ παύσῃ,
ἵνα ῥυσθῶμεν πειρασμῶν
καὶ περιστάσεων.

τριαδ. Τριάδα παναγίαν
ἐν μονάδι θεότητος
160 διαιροῦντες εὐσεβῶς καὶ ἑνοῦντες πιστῶς
ὁμοφώνως βοῶμεν·
« εὐλογητὸς εἶ, κύριε, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. * Ἐτέχθης ἐκ παρθένου
165 ὡς εὐδόκησας, κύριε,
καὶ ἐρρύσω ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν,
διὰ τοῦτο βοῶμεν·
« εὐλογητὸς εἶ, κύριε, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η′. *Τὸν ἐν φλογὶ*
τοῖς παισὶ τῶν Ἑβραίων

170 Ὡς κοινωνὸς
τῶν Χριστοῦ παθημάτων,
ἱερομάρτυς,
τῆς ζωῆς κληρονόμος
καὶ τῆς ἄνω κλήσεως
175 ἀνεδείχθης νομίμως
καὶ συμβασιλεύεις
Χριστῷ εἰς τοὺς αἰῶνας.

154 τὰ μνημόσυνα Ma 158-163 τριαδ. om. Ma 162-163 post εὐλογητὸς cetera om. Σλ 164-169 θεοτ. MR V,12 168-169 post εὐλογητὸς (post κύριε Ma) cetera om. Σλ Ma
heirm. η′ EE 78, n. 110, Germani 177 αἰῶνας om. Σλ

Τοὺς ἐν πυρὶ
μιμησάμενος παῖδας,
180 ἱερομάρτυς,
δαψιλῶς ἐκκαυθεῖσαν
τῆς φλογὸς τὴν κάμινον
οὐκ ἐνάρκησας βλέπων,
ἀλλ' ὡς ἱερεῖον
185 σεαυτὸν παρεδίδους.

Ἐν τῇ τρυφῇ
τῆς Χριστοῦ βασιλείας,
ἱερομάρτυς,
μυστικῶς συναυλίζῃ
190 ὡς πιστὸς συγκάθεδρος
τῶν σοφῶν ἀποστόλων
καὶ συγκληρονόμος
τῶν ἁγίων ἀγγέλων.

τριαδ. * Σὺν τῷ πατρὶ
195 τὸν υἱὸν προσκυνοῦμεν
καὶ πνεῦμα ἅγιον,
ἐν τριάδι μονάδα,
σὺν ἀγγέλοις κράζοντες
τοῖς πηλίνοις στόμασιν·
f. 134v 200 || « δόξα ἐν ὑψίστοις
Θεῷ τῷ ἐν τριάδι ».

θεοτ. Χαῖρε σεμνή,
δυσανάβατον ὕψος
τοῖς τῶν βροτῶν ὀφθαλμοῖς·

---

185 παρεδείδους Σλ παρεδίδως Ma, cfr. PSALTES, 236 § 351 186-209 troparia om. Ma 194-201 τριαδ. MR II, 607 199 στόμασι τοῖς πηλίνοις MR

178-185 cfr. EUSEBIUS, *op. cit.*, *ed. cit.*, IV, xv, 31

178-185 Dan. 3

205 χαῖρε, ὄμμασι νόων
βάθος δυσθεώρητον·
χαῖρε, μήτηρ παρθένε
καὶ θεοκυῆτορ,
εὐλογημένη Μαρία.

ᾠδὴ θ'. *Σὲ τὴν ἀθάνατον πηγὴν*

210 Νοῦν προκαθάρας τῆς σαρκός,
ἱερομάρτυς Πολύκαρπε,
τῷ βαπτίσματι ἄμφω
καὶ αἵματι πιστῶς
κατεκόσμησας,
215 τοὺς στεφάνους κομισάμενος.

Σὺ ἐμβατεύεις οὐρανοὺς
καὶ ἐντρυφᾷς, πάτερ ὅσιε,
τῆς Χριστοῦ βασιλείας,
ὁρῶν αὐτοῦ ἐκεῖ
220 τὸ ἀπρόσιτον
καὶ ὡραῖον κάλλος τὸ ἐραστόν.

[Σὲ τὸν τοῦ Παύλου μαθητὴν
καὶ θεηγόρον διδάσκαλον
καὶ πιστὸν ὑποφήτην
225 τοῦ πνεύματος ἀεὶ
μακαρίζομεν
ὡς πρεσβεύοντα τοῦ σωθῆναι ἡμᾶς.]

τριαδ. * Ἓν καὶ τρία ἀνυμνῶ
εὐσεβῶς τὴν θεότητα
230 τῇ μορφῇ τοῖς προσώποις

---

heirm. θ' EE 78, n. 110, Germani 216-221 trop. om. Ma 222-227 sinceritas huius troparii incerta est 222 τοῦ om. Σλ 227 καὶ τὴν κόνιν τῶν λειψάνων σου Ma 228-233 τριαδ. TR, 294

τῆς σεπτῆς αὐτοῦ κάρας
25 εὑρέσει καὶ συγκαλεῖται ἡμᾶς.

26-30 Ἀνέτειλεν
.... = Σλ 26-30

θεοτ. Ἀστράπτουσα,
θησαυρὲ τῶν ἐκ πόθου
ἀνευφημούντων σε,
ῥῦσαι τὴν πόλιν σου ταύτην
35 ἐκ βλάβης, θεογεννήτωρ ἁγνή.

ᾠδὴ γ'. *Ὁ στερεώσας λόγῳ τοὺς οὐρανοὺς*

36-39 Ὁ ὑψηλὸς βραχίων τοῦ Ἰησοῦ
.... = Σλ 46-49

40-43 Ὥσπερ λαμπὰς ἡ κάρα σου, Βαπτιστά,
.... = Σλ 50-53

44-47 Ὁ θανατῶν καὶ πάλιν ζωογονῶν
.... = Σλ 54-57

θεοτ. Μήτηρ Θεοῦ καὶ τράπεζα μυστικὴ
ἀνεδείχθης, ἄχραντε θεοτόκε ἁγνή,
50 τὸν ἐπουράνιον ἄρτον
φέρουσα, Χριστόν, τὴν ζωὴν τοῦ παντός.

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Ὡς θεῖον θησαύρισμα
ἐγκεκρυμμένον τῇ γῇ
....

heirm. γ' ΕΕ 226, n. 324, Germani
κάθ. MR V, 164

f. 125 ᾠδὴ δ'. *Μυστικῶς ὁ προφήτης προορῶν ἐκ παρθένου*

52-55 Ὡς χρυσὸς ἐκ μετάλλων ἡ σεπτὴ
.... = Σλ 62-65

Ὡς τοῦ Ἄβελ κραυγάζει πρὸς Θεὸν
τοῦ Προδρόμου τὸ αἷμα σὺν τῇ κεφαλῇ
ἐκ τῶν τῆς γῆς κατωτάτων,
ἵνα εἰρηνεύσῃ τὰ σύμπαντα.

60 Ἰαμάτων σταλάζουσα κρουνοὺς
ἡ κεφαλὴ τοῦ Προδρόμου, θαυμάτων πηγὰς
νῦν ὑπὸ τράπεζαν βρύει
καὶ τὴν Ἐκκλησίαν μυρίζει Χριστοῦ.

θεοτ. Ἡ διὰ λόγου τὸν Λόγον ἐν γαστρὶ
65 συλλαβοῦσα ἀσπόρως, παρθένε ἁγνή,
αὐτὸν ἀπαύστως δυσώπει
σῶσαι τὰς ψυχὰς ἡμῶν, ἄχραντε.

f. 126 ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

68-70 Ἡμερινὰς ἀκτῖνας
.... = Σλ 74-77

71-74 Ὥσπερ λαμπὰς ἡλίου
.... = Σλ 78-81

75-78 Ὡς παρρησίαν ἔχων
.... = Σλ 82-85

θεοτ. 79-82 Τῶν Χερουβὶμ φανεῖσα
.... = Σλ 86-89

heirm. δ' ΕΕ 226, n. 323, Germani
heirm. ε' ΕΕ 226, n. 323, Germani

56-59 Gen. 4,8-10

126v ᾠδὴ ϛ'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Τὸ κῆτος τὸν προφήτην Ἰωνᾶν
διέσωσεν ἄφθορον,
85 ἡ γῆ δὲ τὴν κάραν σου,
ἄφωνον λαβοῦσα, Βαπτιστά, ἀπεκάλυψεν.

87-90 Εὐφραίνου, Ἰορδάνη ποταμέ,
.... = Σλ 90-93

91-94 Σαλπίσατε, τὰ ὄρη καὶ βουνοί,
.... = Σλ 94-97

θεοτ. 95-98 Ἡ μόνη διὰ λόγου ἐν σαρκὶ
.... = Σλ 102-105

Κοντάκιον.

Ἦχος β'. *Τὰ ἄνω ζητῶν*

Προφῆτα Θεοῦ
καὶ Πρόδρομε τῆς χάριτος
.... =

f. 127 Ὁ οἶκος.

Ἐκ τοῦ κυρίου τὴν μαρτυρίαν
εἰληφώς, Ἰωάννη,
....

f. 127v ᾠδὴ ζ'. *Ὁ ἐν ἀρχῇ τὴν γῆν*

99-103 Ὁ κιβωτὸν
.... = Σλ 111-115

heirm. ϛ' ΕΕ 224, n. 321, Joannis
Κοντ. et οἶκ. MR III, 659
heirm. ζ' ΕΕ 226, n. 323, Germani

83-86 Joh. 2,1-11

104-108 Ὡς ἐν πυρὶ
.... = Σλ 116-120

109-113 Λάρναξ χρυσῆ
.... = Σλ 106-110

θεοτ. 114-118 Ὁ ἐν γαστρὶ
.... = Σλ 126-130

f. 128 ᾠδὴ η'. *Τὸν τοῦ παντὸς δημιουργὸν*

119-122 Τὸν ἀναδείξαντα ἡμῖν
.... = Σλ 131-134

123-126 Νῦν ἡ ἀξίνη τῆς τομῆς
.... = Σλ 135-138

127-130 Ἡ κεφαλὴ τοῦ Βαπτιστοῦ
.... = Σλ 139-142

θεοτ. 131-134 Τὸν ἐπ' ἐσχάτων δι' ἡμᾶς
.... = Σλ 143-146

f. 128v ᾠδὴ θ'. *Τὸν προδηλωθέντα*

135-139 Τὸν ἀποκαλύψαντα τοῦ Προδρόμου τὴν κάραν
.... = Σλ 147-151

140-144 Δεῦτε, θεασώμεθα τοῦ Προδρόμου τὴν κάραν
.... = Σλ 157-161

145-149 Σάλπιγξ γνωστικὴ ἐν ἐρήμῳ πάλαι ἠχοῦσα
.... = Σλ 162-166

θεοτ. 150-154 Σὺ εἶ, θεοτόκε, τὰ ὅπλα ἡμῶν καὶ τεῖχος
.... = Σλ 167-171

heirm. η' ΕΕ 135, n. 189, Germani (toni πλ. α')
heirm. θ' ΕΕ 226, n. 324, Germani

27 *FEBR.* *CANON* XXIX

IN SANCTUM MARCIANUM ASCETAM

Synaxarium, 400: Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρκιανοῦ. Οὗτος ὁ μακάριος Μαρκιανὸς πατρίδα μὲν ἔσχε τὴν Κύρον, μετὰ δὲ ταῦτα τὴν ἔρημον· καὶ ταύτην δὲ κἀκείνην καταλιπὼν ἔχει τὸν οὐρανόν. Τῆς γὰρ τοῦ γένους περιφρονήσας περιφανείας — ἐξ εὐπατριδῶν γὰρ κατήγετο — καὶ τῆς ἐν βασιλείοις λαμπρότητος καταλαμβάνει τῆς ἐρήμου τὸν ὀμφαλόν. Καὶ μικρὸν οἰκίσκον δειμάμενος .....καθεῖρκτο διηνεκῶς, πάσης μὲν ἀνθρωπίνης συνουσίας κεχωρισμένος, Θεῷ δὲ τῶν ὅλων προσδιαλεγόμενος καὶ τῆς γλυκείας ἐκείνης ὑπαΐων φωνῆς. Καὶ τὴν μὲν προσευχὴν ψαλμῳδία τὴν δὲ ψαλμῳδίαν ἡ προσευχὴ διεδέχετο, καὶ ἀμφότερα πάλιν ἡ τῶν γραφῶν ἀνάγνωσις. Σιτίον δὲ ἦν αὐτῷ μόνος ἄρτος καὶ οὗτος σταθμῷ προσφερόμενος..... Χρόνου δέ τινος παρελθόντος πολλοὺς ἐδέξατο φοιτητὰς καὶ ἐκ τούτων μυρία ἐφυτεύθη ἕτερα ἀσκητῶν καταγώγια, ἃ οὐδὲ ῥᾴδιον ἀριθμεῖν. Τοιαύτης γὰρ χάριτος ἔμπλεος ἦν ὁ μέγας, ὅτι, ὁσάκις ἂν ἐβούλετο ἀνοῖξαι ἐν νυκτὶ βιβλίον πρὸς τὸ ἀναγνῶναι, οὐκ ἐδέετο λυχνιαίου φωτὸς ἀλλ' ἄνωθεν αὐτὸν περιήστραπτε φῶς· καὶ οὕτως τὴν ἀνάγνωσιν ἐποιεῖτο. Δράκοντα δέ ποτε προσερπύσαντα τῷ κελλίῳ καὶ λίαν κεχηνότα ὁ μέγας οὗτος σταυρῷ, ὥσπερ πυρί, κατεξήρανε· καὶ παραυτίκα δίκην καλάμου καταφλεχθεὶς εἰς πολλὰ διελύθη. Ὁ δὲ σημειοφόρος πατὴρ ἡμῶν ἔτι τούτων πλείονα πράξας καὶ διδάξας, τὰ ἐπίγεια καταλιπὼν πρὸς οὐρανὸν μετέστη.

Crypt. Δ.α. XVI = Ci, ff. 136-140v
Barber. gr. 460 = Bd, ff. 60-61v
Barber. gr. 543 = Bb, ff. 259v-262

---

tit. Μηνὶ Φεβρουαρίῳ κζ'. Τοῦ ἁγίου Προκοπίου τοῦ Δεκαπολίτου καὶ τοῦ ἁγίου Μαρκιανοῦ ... Ci; idem cd. duos canones, alternatis odis, tradit: prior· Ὁ κανὼν τοῦ ἁγίου Μαρκιανοῦ φέρων ἀκροστιχίδα· Ἐγκωμιάζω Μαρκιανὸν τὸν πάνυ, quem huc referimus; alter Ἕτερος κανὼν τοῦ ἁγίου Προκοπίου φέρων ἀκροστιχίδα· Τοὺς σοὺς ἀγῶνας εὐπρεπῶς μέλπω, μάκαρ, inc. Τῆς εὐσεβείας τῷ φίλτρῳ κατασχεθείς, cf. MR III, 677-682. Μηνὶ τῷ αὐτῷ κζ'. Τοῦ ἁγίου Προκοπίου τοῦ Δεκαπολίτου καὶ τοῦ ἁγίου Μαρκιανοῦ ... Ὁ κανὼν φέρων ἀκροστιχίδα· Ἐγκωμιάζω Μαρκιανὸν τὸν πάνυ. Θεόδωρος Bd; Μηνὶ τῷ αὐτῷ κζ'. Τοῦ ἁγίου Προκοπίου τοῦ Δεκαπολίτου καὶ τοῦ ἁγίου Μαρκιανοῦ ... Ὁ κανὼν φέρων ἀκροστιχίδα· Ἐγκωμιάζω ... Bb. Ab initiis tropariorum acrostichis vero deducitur: Εγκ.μιαζω Μαρκιανον τον πανυ — Ex theotokiis acr. apparet: Θεόδωρος.

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ἐγκωμιάζω Μαρκιανὸν τὸν πάνυ.
⟨Ἐν δὲ τοῖς θεοτοκίοις· Θεόδωρος⟩

Ἦχος δ'.

ᾠδὴ α'. *Τριστάτας κραταιούς*

Εὐάρεστον Θεῷ
καὶ τιμίαν βιώσας
πολιτείαν ἐπὶ γῆς
καὶ ἄγγελος ὀφθεὶς
5 ἐν σαρκί, παμμακάριστε,
ἄνω νῦν σὺν ἀσωμάτοις
τῷ Χριστῷ παριστάμενος,
παρρησίᾳ δυσώπει σωθῆναι ἡμᾶς.

Γυμνώσας ἑαυτὸν
10 ἐγκρατείας ἱδρῶσι
ἀνεδείχθης καθαρὸν
κειμήλιον, σοφέ,
σωφροσύνης καὶ γέγονας
οἴκημα τοῦ παναγίου
f. 136v 15 καὶ λαμπρὸν ‖ ἐνδιαίτημα,
πάτερ, πνεύματος ὄντως ὡς πνεύματι ζῶν.

Καθάρας προσευχαῖς
καὶ δακρύων νιφάσι
τὴν καρδίαν ἐκ παθῶν
20 ἡνώθης τῷ Θεῷ
καὶ ὡμίλησας, πάτερ σοφέ,
ἄνευθε τῶν κωλυμάτων
πρὸ προσώπου ἱστάμενος
ἐμφανῶς καὶ προσώπῳ δεικνύμενος.

---

heirm. α' EE 95, n. 135, Joannis 6 νῦν om. Bd Bb 20 ἐνώθης Bb 21 ὁμίλησας Ci Bb

---

21-24 cf. Ex. 34,33-35

25 Ω<—́ — — — —́
— — —́ — — —́ —
— — —́ — — — —́
— —́ — — — —́
— — —́ — — —́ — —
30 —́ — — — — — —́ —
— — —́ — — —́ — —
— — —́ — — —́ — — —́ — —>.

θεοτ. Θεόφρονι νοΐ,
θεϊκῇ παρθενίᾳ
35 μετὰ τόκον οἱ πιστοὶ
ὑμνοῦμέν σε, ἁγνή,
ὡς πρὸ τόκου καὶ μέλπομεν·
« φρούρει οὖν ταῖς σαῖς πρεσβείαις
τὰς ψυχὰς ἡμῶν, δέσποινα,
40 ἐκ βελῶν καὶ παγίδων τοῦ ὄφεως ».

ᾠδὴ γ΄. *Οὐκ ἐν σοφίᾳ*
καὶ δυνάμει

f. 137 ‖ Μάκαρ, θορύβους
τοὺς τοῦ βίου λιπὼν ἐμφρονέστατα
ἡσυχίᾳ τε προβάς,
τῷ κάλλει, Μαρκιανέ, ἀληθῶς
45 ὅλος εὐκατάνυκτος ἡμῖν γεγνώρισαι.

Ἱλαρὸς ὤφθης
ἀλειφόμενος ἅγιον ἔλαιον
ἐγκρατείας καὶ εὐχῆς
ἀνθρώποις πᾶσι καὶ δαίμοσι
50 ὄντως φοβερώτατον, Μαρκιανέ, ἀσκητά.

Ἀναβιβάζων
θεωρίαις ταῖς θείαις ὁ ὅσιος

25-32 trop. desideratur; in Ci tantum littera initialis Ὦ scripta est post quam lacuna quattuor versuum 37 μέλπωμεν Bd Bb
heirm. γ΄ EE 96, n. 136, Joannis 45 ὅλως Bd Bb γεγνώρικας Bd Bb
47 ἔλαιος Ci ἔλεος Bd 52 θεωρ. ταῖς θ. ὅσιε Bd Bb

τὴν ψυχὴν τὴν ἑαυτοῦ
ἑκάστου πάθους ἐκράτησεν·
55 ὅθεν καὶ θειότατος ἄνθρωπος γέγονεν.

θεοτ. Εὔας τῆς πάλαι
σὺ εἶ ταύτης θυγάτηρ· ἀνόρθωσις
τῇ γεννήσει σου, σεμνή,
ἐγένου, ἐλευθερώσασα
60 ταύτην κατακρίματος, Θεὸν κυήσασα.

f. 137v ‖ ᾠδὴ δ΄. *Ὁ καθήμενος ἐν δόξῃ*

Ζῆλον θεῖον καὶ πυρώδη
ὁ θεόφρων κτησάμενος,
κατὰ πανουργίας
πάσης τοῦ δολίου στερρῶς ἀντιστὰς
65 καὶ καθελὼν τὰς ἐπάρσεις τούτου, ἔστεπται
τοῦ Θεοῦ τῇ δεξιᾷ χειρὶ τοῦ παντάνακτος.

Ὡς ἀθλήσας ἐγκρατείας
καὶ ἀσκήσεως σκάμματι
καὶ καταπαλαίσας,
70 ὦ Μαρκιανέ, τὴν ἀσώματον
φύσιν ἐν σώματι, πάτερ, ὁμηγύρεως
μοναζόντων πολλοστῶν πατὴρ ἐχρηματίσας.

Μύρον ὅλως ἀνεφάνης
ἀρεταῖς ἐντρεφόμενος
75 ταῖς εὐπνοωτάταις
καὶ τῶν ἀσκητῶν τὰ συστήματα
καταμυρίζων παιδεύεις ἐπανίστασθαι
τῶν παθῶν σοφῶς τῶν σαρκικῶν ἀνδρειότατα.

θεοτ. Ὁ πατρὸς τοῦ προανάρχου
80 συναΐδιος, ἄχραντε,
θεῖος Λόγος ἔνδον

heirm. δ΄ EE 95, n. 135, Joannis 69 καὶ om. Bb 70 τὴν] τὸν Bb 73 Μύρων Bb 75 εὐπνοστάταις Bb 78 ἀνδριότατα Ci ἀνδριότητα Bd Bb

σῆς γαστρὸς οἰκήσας σεσάρκωται
καὶ ἀπορρήτῳ ἑνώσει προελήλυθεν,
θεοτόκον σε παναληθῆ ἐργασάμενος.

f. 138 ‖ ᾠδὴ ε΄. *Νῦν ἀναστήσομαι*
προφητικῶς

85 Ἄνω ἀνέδραμες,
Μαρκιανὲ φίλε τοῦ Χριστοῦ,
εἰς τὸ ἀκρότατον,
ὅπου τὸ ἔσχατον
ἐνυπάρχει τὸ σεπτόν,
90 ἀσκήσει, μάκαρ,
ὀρεκτῶν καὶ τηλαυγῶς
ὥσπερ ἀστὴρ σὺ γεγνώρισαι.

Ῥῆμα ὁ δόλιος
φήσας τὸ πρὶν ἔβαλεν εἰς γῆν
95 ὄφις τὸν ἄνθρωπον,
σοῦ δὲ τῷ ἔρωτι
καὶ σημείῳ τοῦ σταυροῦ
ἀπονεκροῦται,
ἐγκρατείᾳ ἡττηθεὶς
100 τῇ σῇ, σοφὲ πάτερ ἀοίδιμε.

Κόσμῳ κεκόσμησαι
τῶν ἀρετῶν τε καὶ ἀληθῶς
φῶς δὲ γεγνώρισαι
κόσμῳ τοῦ βίου σου,
105 ὡς φωτὶ τῷ καθαρῷ

---

heirm. ε΄ EE 95, n. 135, Joannis; heirm. his verbis refert Bd: « Νῦν ἀναστήσομαι » / προφητικῶς ἔφη ὁ Θεός· / « νῦν δοξασθήσομαι, νῦν ὑψωθήσομαι / τὸν πεσόντα¹ προσλαβὼν / ἐκ τῆς παρθένου / καὶ πρὸς φῶς τὸ θαυμαστὸν / ἀνυψῶν τῆς ζωῆς θελήσεως² (¹ τῷ πεσόντι Bd ² θελήσεως EE). 96 σοῦ] τὸ Bb 99 ἐγκρατείας cdd. 100 ταῖς σαῖς σοφαῖς π. ἀ. Ci Bd ταῖς σαῖς σοφὲ π. ἀ. Bb

---

93-95 cf. Gen. 3,4

λελαμπρυσμένος,
φέρων τούτου καὶ αὐγαῖς
ταῖς τοῦ θείου, παμμάκαρ, πνεύματος.

θεοτ. Δύναμιν, δέσποινα,
110 κατὰ παθῶν δώρησαι ἡμῖν,
σβέσον κυήματα
ἁμαρτημάτων μου,
ἡ κυήσασα Θεόν,
καὶ ἀρετῶν με
115 ταῖς ὠδῖσιν εὐτεκνεῖν
καὶ ἐντολαῖς θείαις ἀξίωσον.

f. 138v ᾠδὴ ϛ΄. *Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης*

Ἴθυνον εὐχαῖς σου καὶ πρεσβείαις
εἰς ἀρετῆς τὰς τρίβους
εὐθυδρόμως τρέχειν τὴν ψυχήν μου,
120 Μαρκιανέ,
καὶ παθῶν ἀπέχεσθαι
τῶν κακῶν καὶ τῆς ὁδοῦ αὐτῶν.

Ἀνοίξας ἐντεύξεως ἀνοίξει
τοὺς οὐρανούς, θεόφρων,
125 οὐρανίῳ φέγγει κατηυγάζου
μὴ δεηθεὶς
αἰσθητῶν, μακάριε,
ἐν νυκτὶ φωτὸς μηδέποτε.

Νοῦν πεπυκνωμένος καὶ τὴν φρένα,
130 νοῦν σκολιὸν τὸν μέγα

11[illegible] κυήσασα Bd Bb 113 τὸν οἰκτίρμονα θεὸν Bd Bb 115 ταῖς ὠδῖσιν εὐτεκνοῖς Bb

heirm. ϛ΄ EE 96, n. 135, Joannis; Bd heirm. integrum praebet: Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης / καὶ κατεπόντισέ με / καταιγὶς πολλῶν ἁμαρτημάτων. / ἀλλ' ὡς Θεὸς ἐκ φθορᾶς ἀνάγαγε / τὴν ζωήν μου ὡς φιλάνθρωπος¹ (¹ τὴν ζωήν μου πολυέλεε EE). 122 κακῶν] παθῶν Bd Bb, τὴν ὁδὸν cdd. 123 Ἀνύξας ἐντ. ἀνύξει Ci 125 κατηυγάζων Bb 127 αἰσθητοῦ Bd Bb 128 οὐδέποτε Bd Bb

---

123-125 cf. Matth. 3,16

καὶ μεγάλα ῥήματα λαλοῦντα
ὑπὸ τοὺς σοὺς
συμπατεῖσθαι, ἅγιε,
πόδας ηὔξω καὶ πεπάτηκας.

θεοτ. 135 Ὡς πύλην τῆς ἄνω βασιλείας
καὶ θεϊκὴν λυχνίαν
καὶ χρυσῆν στάμνον ἔχουσαν μάννα,
τὴν τὸν Θεὸν
ἡμῖν σωματώσασαν,
140 Μαριάμ, ἀνευφημοῦμέν σε.

f. 139 Κάθισμα.

Ἦχος α'. *Τοῦ λίθου σφραγισθέντος*

Ἀσώματος ἐν βίῳ
ἐγνωρίσθης, πατὴρ ἡμῶν,
....

ᾠδὴ ζ'. *Νέοι τρεῖς ἐν Βαβυλῶνι*

Ὅλος θῦμα τῷ κυρίῳ
πέφηνας, Μαρκιανέ,
πυρὶ τῆς ἀσκήσεως
ὀπτώμενον λίαν καὶ μένον
145 τῇ καρτερίᾳ τέλειον
καὶ Θεῷ ποθεινότατον.

Νεύσει θείᾳ καὶ δυνάμει,
ῥώμῃ τε δυναμωθεὶς

κάθ., quod ed. in MR III 678, post odem γ' tradunt Bd Bb
heirm. ζ' EE 96, n. 135, Joannis; Bd heirm. integrum praebet: Νέοι τρεῖς ἐν Βαβυλῶνι / πρόσταγμα τυραννικὸν / εἰς φλήναφον θέμενοι / ἐν μέσῳ πυρὸς ἀνεβόουν [1] / « εὐλογητὸς εἶ », κράζοντες [2], « ὁ Θεὸς τῶν πατέρων ἡμῶν ([1] ἀνεβόων EE [2] κράζ.] κύριε EE) 141 Ὅλον Bb 144 ὀπτ. καὶ λίαν μένων Bd Bb μένων Ci 145 καρτερίᾳ] μαρτυρία Bb 146 ποθεινότατα Bd Bb

---

137 Ex. 16,33

τῷ πνεύματι γέγονας
150 θαυματοποιὸς τῇ Τριάδι
τῇ σῇ καὶ μέγας, ὅσιε,
καὶ Θεῷ πρεσβευτὴς εἰς ἀεί.

Τύπος πέφηνεν ὁ βίος,
γνώμων τε, Μαρκιανέ,
155 ὁ σὸς καὶ κανὼν ἀψευδὴς
ἀσκήσεως ὅλως συνέσει
ἐνδιαπρέπων, ὅσιε,
καὶ Θεῷ προσφιλέστατος.

θεοτ. Ῥήσεις θεῖαι θεολόγων
160 λέγουσι παναληθῶς
Θεόν σε κυήσασαν
μεθ' ὧν καὶ ἡμεῖς τὸν σὸν τόκον
ἀνευφημοῦμεν, δέσποινα,
τὸν Θεὸν τῶν πατέρων ἡμῶν.

f. 139v ᾠδὴ η'. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

165 Οἱ πόνοι οἱ σοὶ καὶ οἱ ἱδρῶτες
ὕπερθεν ὄντως εἰσί, μακαριώτατε,
φύσεως ἧς πέφυκας,
οὓς ἀγωνιζόμενος
ἐν τῇ ἀσκήσει ἵδρωσας,
170 Μαρκιανὲ ἱερέ,
καὶ ψάλλων ἐπεδείξω κυρίῳ·
« σὲ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας ».

Νυκτὸς τὸν προστάτην τε καὶ ἔργων
175 τῶν ταύτης, ἡμέρας ὡς ὑπάρχων υἱός,

---

155 καὶ om. Bd Bb 159 θείας cdd. 161 κυήσασα Bb
heirm. η' EE 100, n. 141, Joannis 167 εἰς cdd. 172-173, 180-182, 189-191 orationem varie recidunt cdd. 172 σε] ὃν Bb

---

153 I Thes. 1,7 175 I Thes. 5,5

αὐτὸς ἀπεδίωξας
φωτὶ τῶν πρακτέων σου,
Μαρκιανὲ τρισόλβιε,
καὶ ψάλλων ἔλεγες·
180 « τὸν κύριον ὑμνεῖτε, τὰ ἔργα,
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Παράδεισος ἄλλος κοσμημένος
ὡραίοις φυτοῖς ἐφάνης τῶν ἀρετῶν
185 ἐξ ἀνατολῶν ἡμῖν,
τρέφων τὴν ἀθάνατον
τροφὴν τοὺς πίστει ψάλλοντας
καὶ ἀναμέλποντας·
« τὸν κύριον ὑμνεῖτε, τὰ ἔργα,
190 καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Ὅλῳ στόματί τε καὶ καρδίᾳ
θεότητος ὡς δοχεῖον ὑμνοῦντά σε
ὅλον με ἁγίασον
195 καὶ τὰς ἁμαρτίας μου
ἀπ' ἐμοῦ τάχος ποίησον,
ἡ ἀναμάρτητον
Θεὸν καὶ ἁμαρτίας τοῦ κόσμου
αἴροντα τεκοῦσα,
200 ἁγνή, καὶ πάντων κτίστην.

f. 140 ᾠδὴ θ'. *Εὔα μὲν τῷ τῆς παρακοῆς*

Ἅπασαν εἰδέαν ἀρετῆς,
πανόσιε, ὑπὲρ πόνων σὺ ἐξήσκησας,
πάσας ἐπῆλθες προθυμίᾳ,

---

183 κοσμημένος pro κεκοσμημένος Ci κεκτημένος Bd Bb 193 ἀνυμνοῦντας σε Bd Bb
heirm. θ' EE 98, n. 139, Joannis

---

198 Joh. 1,29

εἰς ἄκρον ταύτας, μάκαρ, διήνυσας
205 καὶ παῦλαν τῶν καμάτων ἀπείληφας
τὴν βασιλείαν τὴν ἀκήρατον.

Νῦν ἀδιαδόχῳ φωτισμῷ,
πανόσιε, καὶ ἀπείρῳ τῆς θεότητος
περιλαμπόμενος, ταῖς αἴγλαις
210 ταῖς θείαις καὶ ἡμᾶς καταφώτισον
πρεσβείαις σου ἐν πίστει τοὺς ψάλλοντας
καὶ σῆς μερίδος καταξίωσον.

Ὕλης ὑπερβὰς ὡς ἀληθῶς
πάσας πέδας, συσκηνούμενος
215 θείαις χορείαις, τοῖς ἁγίοις
f. 140v ‖ τοῖς ἀπ' αἰῶνος, μάκαρ, καὶ μάρτυσιν,
Θεοῦ τε πρὸ προσώπου ἱστάμενος,
πάντων μιμνήσκου τῶν ὑμνούντων σε.

θεοτ. Σοφίαν καὶ Λόγον τοῦ Θεοῦ,
220 πανάχραντε θεοτόκε, ὡς γεγέννηκας
τὸν ἐνυπόστατον καὶ πάντων
πατρὸς πρὸ τῶν αἰώνων ἐκλάμψαντα
καὶ ἔμεινας παρθένος ἀκήρατος,
ὦ θεομῆτορ παναμώμητε.

---

209 περιλαμπόμενος τῇ αἴγλῃ Bd Bb 210 τῇ θεία Bd Bb 212 σῆς] τῆς Bd Bb 214-215 μακάριε τοῖς ἁγίοις συσκηνούμενος / θείαις χωρίαις τῶν ὁσίων Bd Bb 214 παῖδας Ci 217 τὲ Ci Bd

29 FEBR. *CANON* XXX

IN SANCTUM PROTERIUM EPISCOPUM ALEXANDRIAE

Synaxarium, 493: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Προτερίου ἀρχιεπισκόπου Ἀλεξανδρείας. Οὗτος ὁ μακάριος πρεσβύτερος ἦν ἐν τῇ κατ' Ἀλεξάνδρειαν Ἐκκλησίᾳ· καὶ συνελθὼν τοῖς ἐν Κωνσταντινουπόλει ἀνελθοῦσιν Ἀλεξανδρεῦσι καὶ πλεῖστα τοῖς ἁγίοις πατράσι κατὰ τῶν δυσσεβῶν αἱρέσεων συναγωνισάμενος, ἐπίσκοπος ὑπὸ τῆς συνόδου Ἀλεξανδρείας προβάλλεται. Στασιασάντων δὲ ὅσοι τὰ τοῦ Εὐτυχοῦς φρονοῦντες ἐτύγχανον, καὶ τὴν σιτοπομπίαν κωλύσειν ἀπειλησάντων, ὁ εὐσεβέστατος Μαρκιανὸς οὐκ εἰς Ἀλεξάνδρειαν τὸν σῖτον ἀλλ' εἰς τὸ Πηλούσιον κατάγειν διὰ τοῦ Νείλου παρεκελεύσατο. Ὅθεν οἱ Ἀλεξανδρεῖς λιμώξαντες τὸν σφῶν ἀρχιερέα μεσίτην πρὸς τὸν βασιλέα προβάλλονται. Ὁ δὲ τῇ τοῦ ἀρχιερέως εἴξας παρακλήσει, πάλιν ἐν Ἀλεξανδρείᾳ κατάγεσθαι τὸν σῖτον παρεκελεύσατο. Μετὰ δὲ τὴν τελευτὴν τοῦ εὐσεβεστάτου βασιλέως Μαρκιανοῦ, Τιμόθεός τις, τὴν ἐπωνυμίαν Αἴλουρος, ἀσέληνόν τινα νύκτα ἐπιτηρήσας καὶ τοῖς τῶν μοναζόντων κελλίοις ἀωρὶ ἐπιστὰς ἄγγελον αὐτὸν εἶναι ἔφησε, καὶ ἀποστῆναι τῆς κοινωνίας Προτερίου τούτοις ἐπέσκηψε. Οἱ δὲ ἁπλοϊκῶς ἐξαπατηθέντες, στάσιν κατὰ τοῦ ἀρχιερέως ἐγείρουσιν. Οὗτος δὲ φεύγων τὸν θειότατον προφήτην Ἡσαΐαν ἐθεάσατο λέγοντα· «Ὑπόστρεψον, κἀγὼ περιμένω δέξασθαί σε». Τοῦτο δὲ ἐδήλου τάχα τὴν βιαίαν αὐτοῦ τελευτήν. Ὑποστρέψας οὖν καὶ ἐν τῇ θείᾳ κολυμβήθρᾳ εἰσελθών, ὑπ' αὐτῶν ἐκεῖσε καλάμοις ὀξέσι κατασφάττεται· εἶτα χειροτονοῦσιν ἀντ' ἐκείνου τὸν ἀπατήσαντα αὐτοὺς Τιμόθεον καὶ ἀνάγουσιν ἐπὶ τὸν τῆς ἀρχιερωσύνης θρόνον. Ὅπερ μαθὼν ὁ μετὰ Μαρκιανὸν βασιλεὺς Λέων, τὸν μὲν Τιμόθεον ὑπὸ τὴν τῶν ἐπισκόπων ἐξουσίαν κριθῆναι κανονικῶς ἐποίησεν· ὃν καὶ γυμνώσαντες τῆς ἀρχιερατικῆς τιμῆς εἰς Γάγγραν ἐξώρισαν.....

Paris. gr. 1562	= Pp,	ff. 141v-145
Mess. gr. 136	= Mf,	ff. 117v-122
Barber. gr. 409	= Bf,	ff. 271v-276v
Athen. 555	= G,	ff. 81v-83

Μηνὶ Φεβρουαρίῳ κθ'. Τοῦ ἁγίου ἱερομάρτυρος Προτερίου πατριάρχου Ἀλεξανδρείας... Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε· Ἄισματα Φιλοθέου ... Pp

Μηνὶ Φεβρουαρίῳ ιθ'. Εἰς τὸν ἅγιον ἱερομάρτυρα Προτέριον ἀρχιεπίσκοπον Ἀλεξανδρείας... Ὁ κανὼν Mf

Μηνὶ τῷ αὐτῷ κθ'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Προτερίου ἀρχιεπισκόπου Ἀλεξανδρείας· ψάλλεται δὲ ὅταν ἔνι βίστεκτος, εἰ δὲ ὅταν οὐδὲν ἔνι βίστεκτος, ἐν τοῖς ἀποδείπνοις... Ὁ κανὼν Bf

Μηνὶ τῷ αὐτῷ κθ'. Τοῦ ἁγίου μάρτυρος Προτερίου πατριάρχου Ἀλεξανδρείας καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Κασιανοῦ. Ὅτε δὲ ἔχει ὁ Φεβρουάριος κη' ἡ τούτου ἀκολουθία ψάλλεται τῇ αὐτῇ ἡμέρᾳ ἐν τοῖς ἀποδείπνοις... Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία καὶ ὁ κανὼν G

Nomen Φιλοθέου in margine f. 141v cd. Pp legitur

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Ἄισματα Φιλοθέου εἰς τὸν ἱερομάρτυρα Προτέριον.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἅρματα Φαραὼ*
καὶ τὴν δύναμιν αὐτοῦ
ἔρριψεν εἰς θάλασσαν
ὁ κραταιὸς ἐν πολέμοις·
5 *ᾄσωμεν αὐτῷ ᾆσμα καινόν,*
ὅτι ἐνδόξως δεδόξασται.

Ἅρματι νοητῷ
τετραπώλῳ ἐπιβὰς
πίστεως, ἀσκήσεως,
f. 142 ἱερωσύνης καὶ ‖ ἄθλων,
5 δρόμον μαρτυρίου ἤνυσας,
ἱερομύστα Προτέριε.

Στέψας ταῖς ἀρεταῖς
τῆς ψυχῆς σου τὴν στολήν,
ἔβαψας τῷ αἵματι
10 τοῦ μαρτυρίου σου ταύτην,
ἣν βασιλικῶς ἐνδέδυσαι,
συμβασιλεύων ἀεὶ τῷ Χριστῷ.

Μύστης, ἱερουργός,
ἱεράρχης καὶ ποιμὴν
15 πέφηνας, πανεύφημε,
Ἀλεξανδρέων καὶ πάντων
τεῖχος ὀρθοδόξων ἄσειστον,
ἱεροφάντα Προτέριε.

Ἄισμασιν εὐαγῶν
20 ἐξ ἀνθέων τῆς ψυχῆς

---

heirm. α' EE 104, n. 147, Andreae; heirm. integrum praebent cdd. (2 αὐτῶν EE) trop. odis α' hoc ordine tradit Bf: 1, 3, 2, 5 7-12 trop. om. Mf 8 ἱερωσύνης τὴν στολὴν Bf τὴν ψυχήν σου τὴν στολὴν G 13-18 trop. deest in G 18 ἱεροφάντορ Bf 19-24 trop. desideratur in Bf

στέφανον προσοίσωμεν
τῷ ἱεράρχῃ κυρίου,
ἐν τῇ πανευσήμῳ μνήμῃ αὐτοῦ
πνευματικῶς ἀγαλλόμενοι.

θεοτ. 25 Τέτοκας τὸν πρὸ σοῦ
γεννηθέντα ἐκ πατρὸς
Λόγον, θεονύμφευτε,
ὃν ἐν δυσὶ ταῖς οὐσίαις
ὁ πανευκλεὴς Προτέριος
30 ἀνακηρύττων ἐνήθλησεν.

ᾠδὴ γ΄. *Τόξον δυνατῶν ἠσθένησε*

Ἄιδων ὀρθοδόξοις ᾄσμασιν
ἐν τῇ ἐκκλησίᾳ
τῷ σαρκωθέντι Θεῷ ἡμῶν,
ἐλογχεύθης ὑπὸ τροφίμων
35 τῶν τοῦ Μάνεντος, μακάριε.

Φύρας οὐδαμῶς εἰς ἄλληλα
f. 142v τὰς τῶν || δύο φύσεων
ἰδιότητας ἔλεγες·
« εἷς νοεῖται υἱὸς ὁ Χριστὸς
40 ὡς Θεὸς ὁμοῦ καὶ ἄνθρωπος ».

Ἴσον τῷ πατρὶ καὶ πνεύματι
ὀρθοδόξῳ πίστει
τὸν υἱὸν ἐδογμάτιζες,
ἴσον πάλιν βροτὸν τῇ φύσει
45 τῇ μητρὶ τὸν αὐτὸν ἔλεγες.

Λύθρον τῶν ἁγνῶν αἱμάτων σου
τῆς ἱερωσύνης

---

21 προσοίσομεν Pp προσείσωμεν G 22 κασιανῶ τῶ ὁσίω G 29 ὁ εὐκλεὴς προτέριος G
heirm. γ΄ EE 102, n. 144, Cosmae; heirm. integer in Bf G, qui autem in nonnullis differt verbis Mf trop. odis γ΄ hoc ordine tradit: 2, 3, 1, 5, Bf vero: 2,4,3,5 31-35 trop. om. Bf 36-45 trop. desiderantur in G 36 Φύρσιν Bf 37 τὰς] τὰ Bf 38 ἰδιώματα Bf 39 υἱὸς] ἰησοῦς Mf Χριστὸς] λόγος Bf 43 ἐδογμάτησας Mf ἐδογμάτισας Bf 44 βροτῶν Bf 46-50 trop. deest in Mf 46 Λύθρον] Ῥύθρον Bf G

ἐπικεράσας τῷ χρίσματι,
ἀνεδείχθης ἱερομάρτυς,
50 παμμακάριστε Προτέριε.

θεοτ. Ὄρος ἡ παρθένος λίθον σε
ἀκρογωνιαῖον
ἄνευ ἀνδρός, σῶτερ, ἔτεκεν,
ἕνα ὄντα τῇ ὑποστάσει
55 ἐν δυσὶ τελείαις φύσεσιν.

ᾠδὴ δ΄. *Δι' ἀγάπησιν, οἰκτῖρμον,*

Θαυμαστή σου τῆς ἀνδρείας
ἡ εὐτολμία,

G post v. 50 hoc trop. inseruit: Ἄνω πρὸς Θεὸν τὸ φρόνημα, / Κασιανέ, ἔχων[1], / τὰ ἐπὶ γῆς καταλέλοιπας[2], / διὰ πόνων τῆς ἐγκρατείας / ἀνενδότως κουφιζόμενος, cf. MR III, 292 — ex canone in s. Macarium Aegyptiacum dicato [1] ἔχων, θεοφόρε, MR [2] κατέλοιπας (sic) G
Post odem γ΄ Bf G praebent: Κάθισμα. Ἦχος δ΄. *Ταχὺ προκατάλαβε* Διπλοῦν σοι τὸν στέφανον / τῆς ἀφθαρσίας Χριστός, / παμμάκαρ, δεδώρηται / ὡς ἀθλητῇ καὶ σεπτῷ / ποιμένι, Προτέριε[1]· / τούτῳ γὰρ ἀναιμάκτους[2] / σὺ προσφέρων λατρείας[3], / γέγονας καὶ τοῦ πάθους[4] / μιμητὴς αὐτοῦ, μάκαρ[5]· / διὸ νῦν τῆς ἀγήρω[6] / τρυφᾶς μακαριότητος (idem κάθ., quod post odem ς΄ necnon Mf refert, in MR I, 127 editum est: [1] ἱεράρχα προτ. Mf ἱεράρχη προτ. G ἱεράρχη, Αὐτόνομε MR [2] ἀναιμάκτους] προσηγάγω MR [3] ἀναιμάκτους θυσίας MR [4] τούτου τὸ θεῖον πάθος MR [5] μιμητὴς ἐπαξίως Mf G ἀψευδῶς ἐμιμήσω MR [6] αὐτοῦ καὶ τῆς ἀγήρω MR). Δόξα. Καὶ νῦν. Θεοτοκίον ὅμοιον. Ἡ ῥάβδος ἐδήλου σε / τοῦ Ἀαρὼν ἀληθῶς / ἀνίκμως βλαστήσασα / ποτὲ τὸν ξένον βλαστόν, / παρθένε ἀμίαντε· / ἔδειξας γὰρ ἐκείνης / τὴν προτύπωσιν ὄντως, / τέξασα Θεὸν Λόγον / ἐν σαρκὶ ἀπειράνδρως· / διό σε θεοτόκον / πάντες δοξάζομεν. Σταυροθεοτ. Σταυρῷ τῷ τιμίῳ σε / προσηλωμένον σαρκὶ / ὁρῶσα ἡ ἄσπιλος, / ἁγνὴ καὶ μήτηρ σου, / Χριστὲ ὁ Θεὸς ἡμῶν, / ἔστενε ἐκ βαθέων, μητρικῶς ἐκβοῶσα· / « οἴμοι, τὸ φῶς τοῦ κόσμου, / πῶς ἑκὼν ὑπεκρύβης; / ὑμνῶ σου τὴν ὑπὲρ λόγον, / υἱέ μου, συγκατάβασιν ». — in G post κάθ. invenimus: θεοτ. Ἐκαίνισας, ἄχραντε... = MR III, 331; Σταυροθεοτ. Παρθένε πανάμωμε, / μήτηρ Χριστοῦ τοῦ Θεοῦ... = *o.c.*, *l.c.*
heirm. δ΄ EE 97, n. 138, Joannis; heirm. integer in Bf G: Δι' ἀγάπησιν, οἰκτῖρμον, / τῆς σῆς εἰκόνος / ἐπὶ σταυροῦ[1] σου ἔστης / καὶ ἐτάκησαν ἔθνη· / σὺ γὰρ εἶ Θεὸς ἡμῶν[2], / ἐλπὶς καὶ ἡ ὕμνησις ([1] σταυρὸν G [2] σὺ γὰρ εἶ, φιλάνθρωπε, / ἰσχύς μου καὶ ὕμνησις G EE)
Mf Bf trop. odis δ΄ hoc ordine praebent: 1, 4, 2, 5

51-52 Is. 28,16; I Petr. 2,6

τοῖς ἀναιρεῖν σε ὅπως
ἐκζητοῦσι παρέσχες
60 σεαυτὸν ἑκούσιον,
Προτέριε, σφάγιον.

'Ἐν προφήταις σε συντάττων
ὁ σὸς δεσπότης,
τὸν Ἡσαΐαν, πάτερ,
65 σοὶ ὀφθῆναι κελεύει,
« σπεῦσον, περιμένω σε,
Προτέριε », λέγοντα.

Ὁ ἰσάγγελός σου βίος
πρὸς ὑπερτάτην
70 ἱεραρχίας δόξαν
ἀνεβίβασε, μάκαρ,
ἡ δὲ πίστις μάρτυρα
γενναῖον ἀνέδειξεν.

f. 143 || Ὑπερβάλλεις ἱεράρχας
75 τῷ εἶναι, μάρτυς,
τοὺς ἀθλητὰς δὲ πάλιν
ὡς ἱερομύστης,
μάρτυς ἱερώτατε,
Προτέριε ἔνδοξε.

θεοτ. 80 'Ἐν τρισὶ μὲν τοῖς προσώποις
τὴν θείαν φύσιν,
ἐν δὲ δυσὶν οὐσίαις
τὸν Χριστὸν καὶ υἱόν σου
λέγων ὁ Προτέριος
85 ἐνήθλησε, δέσποινα.

58 ἀνελεῖν Bf 62 συνάπτων Bf 67 λέγοντα] ἔνδοξε Pp φάσκοντα G 68-73 trop. om. Mf Bf 68 Ὁ om. G 71 μάκαρ] πάτερ G 74-79 trop. deest in G 75 τὸ Mf Bf 77 καὶ post ὡς add. Mf Bf 81 θείαν] μίαν Mf Bf 82 δὲ om. Bf 84 λέγων] σέβων Bf 85 ἐν. δέσποτα G

ᾠδὴ ε'. *Ἀσεβεῖς οὐκ ὄψονται*

Ἰωσὴφ διέσωσε
τὴν Αἴγυπτον λιμοῦ
αἰσθητοῦ, σὺ δὲ νοητοῦ
ἀπαλλάξας ταύτην δεινῆς αἱρέσεως
90 ὀρθοδόξοις δόγμασιν
ὡς ἐν σπέρμασι, Προτέριε.

Σταυρωθῆναι λέγοντες
τὴν φύσιν τοῦ Θεοῦ
οἱ δεινοὶ Αἰλουριανοί,
95 σὲ τὸν ταύτης πρόμαχον ἀνεῖλον ξίφεσι
καὶ πυρὶ τεφρώσαντες
τῷ ἀέρι διεσκέδασαν.

heirm. ε' EE 97, n. 138, Joannis; heirm. his verbis tradit G: Ἀσεβεῖς οὐχ ὄψονται / τὴν δόξαν σου, Χριστέ, / ἀλλ' ἡμεῖς [1] μονογενὲς / πατρικῆς ἀπαύγασμα / δόξης θεότητος / καὶ πρὸς σὲ [2] ὀρθρίζοντες / ἀνυμνοῦμέν σε, φιλάνθρωπε ([1] ἡμεῖς σε EE [2] καὶ πρὸς σὲ] ἐκ νυκτὸς EE); Bf diversum heirm. praebet qui metro trop. minime aptatur: Τὸν φωτισμόν σου, κύριε, / κατάπεμψον ἡμῖν... = EE 101, n. 143, Cosmae

trop. odis ε' hoc ordine refert Mf: 2, 3, 1, 5 86-91 trop. om. Bf 88 αἰσθητῶς σὺ δὲ νοητῶς Mf αἰσθητῆς σὺ δὲ νοητῆς G 90 ὀρθοδοξίας G 94 αἰλλουριανοὶ Pp ἐλλουριανοὶ Mf αἰλουριάνοὶ G 95 ξίφεσι] ἔνδοξε Bf 96 καὶ περὶ τεφρώσαντες G

95-97 Mansi, VII, 793: « ὅμως οἱ τὸν ἐξ ἀρχῆς Τιμοθέου σκοπὸν εἰς ἔργον προαγαγεῖν σπουδάζοντες, οἱ μηδὲ ἐν τοῖς ἀχράντοις ἐκείνοις σηκοῖς αὐτὸν ἀνεχόμενοι σῴζεσθαι, οὔτε τὸ σέβας αἰδεσθέντες τοῦ τόπου, οὔτε τὸν καιρόν — ἦν γὰρ τοῦ σωτηρίου Πάσχα πανήγυρις — οὔτε τὴν ἱερωσύνην αὐτὴν φρίξαντες μεσιτεύουσαν θεῷ καὶ ἀνθρώποις, ἀποκτείνουσι τὸν ἀνεύθυνον, σφάττουσιν αὐτὸν ἀπηνῶς μετὰ καὶ ἄλλων ἕξ. Καὶ παραγαγόντες τούτου τὸ λείψανον πανταχοῦ κατετρωμένον, ὁμοῦ τε περισύραντες κατὰ πάντα σχεδὸν τόπον τῆς πόλεως καὶ καταπομπεύσαντες σχετλίως, ᾐκίζοντο ἀνηλεῶς τὸ τῶν πληγῶν οὐκ αἰσθανόμενον σῶμα διατεμνόντες κατὰ μέλος... πυρί τε παραδόντες τὸ ὑπολειφθὲν αὐτοῦ σῶμα τὴν ἐκ τούτου κόνιν τοῖς ἀνέμοις παρέπεμπον, θηρίων πᾶσαν ὑπερακοντίσαντες ἀγριότητα... ».

86-87 cf. Gen. 41 s.

Τὸ διπλοῦν τῶν φύσεων
καὶ τῶν ἐνεργειῶν
100 καὶ θελήσεων τοῦ Χριστοῦ
δογματίζων, ὅσιε, Ἀπολινάριον,
Εὐτυχῆ καὶ Μάνεντα
σὺ καθεῖλες τοὺς ἀλάστορας.

Οἱ ψιλὸν τὸν κύριον
105 δοξάζοντες βροτὸν
ταῖς σοφαῖς, ὦ πάτερ, νευραῖς
τῶν ἐνθέων λόγων σου ἀπηγχονίσθησαν,
ὁ δεινὸς Νεστόριος
σὺν τῷ Παύλῳ καὶ Θεόδωρος.

f. 143v θεοτ. 110 ‖ Νεουργὸν τῆς φύσεως
γεγέννηκας, ἁγνή,
τὸν Χριστὸν ὃν θεολογῶν
ὁ σοφὸς Προτέριος διπλοῦν ταῖς φύσεσιν
ἐναθλήσας, δέσποινα,
115 τὸ τῆς νίκης στέφος εἴληφεν.

ᾠδὴ ς'. *Ἐβόησε*
προτυπῶν

Ἰάτρευσας
ἀπιστίαν νοσοῦσαν τὴν Αἴγυπτον
ἐπῳδαῖς σου
τῶν εὐχῶν καὶ δογμάτων, Προτέριε,
120 καὶ πρὸς εὐρωστίαν
αἰωνίζουσαν ταύτην μετέβαλες.

---

98 Τὸν Bf 98-103 trop. his substituit vv. G: Τὰς ἀμόρφους τέλειον [1] / εἰδέας [2] τῶν παθῶν / ἐκ ψυχῆς, πάτερ, ἐξελθών [3], / ἐγκρατείας χρώμασι διεζωγράφησας / ἐν αὐτῇ ἀπάθειαν / καὶ ἀγάπην ἀνυπόκριτον, cf. MR II, 733 — ex canone in s. Melanem dicato [1] τέλεον MR [2] ἰδέας MR [3] ἐκ ψυχῆς ξέσασα, σεμνή, MR 104-109 trop. deest in Mf G 106 ὦ πάτερ] πάτερ σου Bf 107 τῶν ὀρθῶν δογμάτων σου ἀπ. Bf 110 Γεουργὸν τῆς φύσ. G 111 γενήσασα Bf

heirm. ς' EE 125, n. 172; heirm. his verbis tradit G: Ἐβόησε / προτυπῶν τὴν ταφὴν τὴν τριήμερον / ὁ προφήτης / Ἰωνᾶς ἐν τῷ κήτει δεόμενος· / « ἐκ φθορᾶς με σῶσον (ῥῦσαι EE), Ἰησοῦ βασιλεῦ τῶν δυνάμεων ».

Ἐπόρθησας
Εὐτυχοῦς καὶ Σεβήρου τὰ φρούρια
τῶν δογμάτων
125 μηχαναῖς σου τῶν λόγων, θεσπέσιε,
καὶ ἠφάνισας
εἰς αἰῶνας αὐτῶν τὸ μνημόσυνον.

Ῥομφαίᾳ σου
τῶν ἐνθέων ῥημάτων ἐξέτεμες
130 τὰς ἐκφύλους
κεφαλὰς τῶν ἀθέων αἱρέσεων
καὶ τῇ Ἐκκλησίᾳ
εἰρηναίαν παρέσχες κατάστασιν.

Ὁ βίος σου
135 τοῦ Θεοῦ ἱεράρχην ἀνέδειξεν,
ἡ δὲ πίστις
ἀνδρειότατον μάρτυρα, πάνσοφε,
ἡ φιλανθρωπία
χριστομίμητον δέ, πάτερ, σφάγιον.

θεοτ. 140 Μερίζεται
ὡς διπλοῦς ἐνεργείαις καὶ φύσεσιν
ὁ υἱός σου
τῷ παθεῖν καὶ μὴ πάσχειν, πανάχραντε,
ἀληθῆ δεικνύων
145 τὰ τοῦ Προτερίου θεῖα δόγματα.

---

troparia odis ς' hoc ordine praebet Mf: 2, 3, 1, 5; Bf autem: 2, 4, 3, 5 122-127 trop. deest in G 125 μ. τῶν σῶν λ. θεσ. Bf 126 καὶ ἐξαφανίζεις Bf 134-139 trop. om. Mt; G autem dissimile trop. refert inc. Ἰσάγγελον ἐπὶ γῆς πολιτείαν = MR III, 294 — ex canone in s. Macarium Aegyptiacum dicato

139 δέ, πάτερ] ἄμωμον Bf 145 προτερίου τὰ ἔνθεα δόγματα Bf τὰ σεπτὰ προτερίου διδάγματα G θεῖα] θείου Mf

In Mf post odem ς' legimus: Κάθισμα. Ἦχος δ'. *Ταχὺ προκατάλαβε* Διπλοῦν σοι τὸν στέφανον..., de quo cf. post odem γ'

In Bf autem post odem ς' invenimus: Τῷ αὐτῷ μηνὶ κθ'. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κασιανοῦ τοῦ ῥωμαίου.

⟨στίχοι⟩ Θείους μεταστὰς Κασιανὸς πρὸς νόας,
θείας νοητῶς κασίας ἀποπνέει (cf. MR III, 691).

Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τοῦ ἁγίου μάρτυρος Νέστορος.

⟨στίχοι⟩ Οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος ἐν ξύλῳ
Νέστωρ ἁπλωθεὶς τὸ προφητικὸν φάναι (cf. SMM 79).

Οὗτος ἦν κατὰ τοὺς χρόνους Δεκίου τοῦ βασιλέως καὶ Πουπλίου ἡγεμόνος ἐκ Πέργης τῆς Παμφυλίας ..., cf. Synax. Eccl. CP., 495.

f. 144 ‖ ᾠδὴ ζ′. *Ὁ διασώσας ἐν πυρὶ*

Ἀποζευχθεῖσα τῆς σαρκὸς
σοῦ, θεοχαρίτωτε μάρτυς,
ἡ παμμακάριστος ψυχὴ
καὶ πρὸς λῆξιν οὐράνιον φθάσασα
150 τῆς ἐφέσεως ἔληξεν,
ἀπολαύουσα τῆς δόξης τῆς ἀνωτάτω.

Ῥυθμίσας δόγμασιν ὀρθοῖς
τὴν καθολικὴν Ἐκκλησίαν
καὶ ὑπὲρ ταύτης τὴν ψυχὴν
155 ὡς ποιμὴν θεοπρόβλητος θέμενος
πρὸς Χριστὸν ἐξεδήμησας
σὺν ἀγγέλοις ἀπολαύων τῆς τούτου δόξης.

Τὴν Ἀλεξάνδρειαν λιπὼν
τῇ σωματικῇ παρουσίᾳ
160 τῆς Ἐκκλησίας πρὸς Χριστοῦ
τῆς ἐν ὅλῳ τῷ κόσμῳ τῷ πνεύματι
προστατεύειν ἠξίωσαι,
ἣν ἰθύνοις καὶ φυλάττοις ὀρθοδοξοῦσαν.

---

heirm. ζ′ EE 101, n. 142, Cosmae; Bf G heirm. integrum praebent: Ὁ διασώσας ἐν πυρὶ / τοὺς Ἀβραμιαίους σου παῖδας / καὶ τοὺς Χαλδαίους ἀνελών, / οὓς ἡ δίκη δικαίως ἐνύδρευσεν[1], / ὑπερύμνητε κύριε / ὁ Θεὸς ὁ τῶν πατέρων, / εὐλογητὸς εἶ (οὓς ἡ δίκη δικαίους ἐνίδρευσε / ὑπερύμνητε ὁ τῶν πατέρων κύριος / καὶ θεὸς / εὐλογητὸς εἶ Bf οἷς ἀδίκως δικαίους ἐνήδρευσαν, / ὑπερύμνητε κύριε / ὁ θεὸς ὁ τῶν πατέρων, / εὐλογητὸς εἶ EE)

trop. odis ζ′ hoc ordine exhibent Mf Bf: 2, 1, 4, 5 146 Ἀπορραγεῖσα Mf Bf G 147 θεομακάριστε Bf 148 πανακήρατος Bf 150 ἔληξεν] ἐστίκεν (sic) Mf ἔτυχεν Bf ἔστηκεν G 151 post δόξης G add.: ὑπερύμνητε κύριε / ὁ θεὸς ὁ τῶν πατέρων / εὐλογητὸς εἶ 154 αὐτῆς G 157 τούτου] θείας Bf 158-163 trop. deest in Mf Bf; G autem aliud trop. tradit inc. Ἀνακαθάρας τὴν ἀχλύν..., cf. MR III, 295 — ex canone in s. Macarium Aegyptiacum dicato

---

154-155 Joh. 10,11

Ὑπασπισταί σε τοῦ σατάν,
165 ἄπειρον τῇ νεύσει τὸ πλῆθος
τῶν θεομάχων ἐπελθόν,
τοῦ ναοῦ ἐν τῷ μέσῳ ἀπέκτεινε
τὸν Χριστὸν ἐκμιμούμενον
καὶ συγχώρησιν κυρίῳ αὐτοῖς αἰτοῦντα.

θεοτ. 170 Ῥάβδος ἡ πάλαι Ἀαρὼν
ἄνευθε βλαστήσασα ῥίζης
τὴν ἐκ παρθένου σου, Χριστέ,
προεδήλου ἀλόχευτον γέννησιν,
ἣν ἐν δύο ταῖς φύσεσιν
175 ὁ Προτέριος κηρύττων ἐτράνου πᾶσιν.

f. 144v ‖ ᾠδὴ η′. *Εὐφράνθητι, Ἱερουσαλήμ,*

Ἀνέδραμες
ἀπὸ τῶν ἐν γῇ πρὸς τὰ οὐράνια
Θεοῦ βασίλεια,
ἱεραρχίας τε καὶ μαρτυρίου
180 δόξαις ἠγλαϊσμένος, τρισμάκαρ,
καὶ τῷ θρόνῳ τῷ τοῦ δεσπότου παρίστασαι,
ἀναμέλπων·
« εὐλογεῖτε, τὰ ἔργα κυρίου, τὸν κύριον ».

164-169 trop. desideratur in G 164 Οἱ τοῦ σατᾶν ὑπασπισταὶ Bf σε] σου Mf 165 ἄσπορος τῇ νεύσει τοῦ πλήθους Mf ἄσπαρτος τῇ νεύσει ὡς θῆρες Bf 166 ἐλθόντες ἄρδην κατὰ σοῦ Bf ὑπελθὼν Mf 167 τοῦ ν. σε ἐν μ. ἀπ. Bf ἀπέκτειναν Bf 173 ἀλόγχευτον Bf G 175 post κηρύττων G add.: ὑπερύμνητε κύριε / ὁ θεὸς ὁ τῶν πατέρων / εὐλογητὸς εἶ

heirm. η′ EE 101, n. 142, Cosmae; heirm. integer in Mf Bf G: Εὐφράνθητι, Ἱερουσαλήμ, / πανηγυρίσατε, οἱ ἀγαπῶντες Σιών[1]· / ὁ βασιλεύων γὰρ εἰς τοὺς αἰῶνας / κύριος τῶν δυνάμεων ἦλθεν· / εὐλαβείσθω, πᾶσα ἡ γῆ, / ἀπὸ προσώπου αὐτοῦ / καὶ βοάτω· / « εὐλογεῖτε, τὰ ἔργα κυρίου, τὸν κύριον[2] » ([1] καὶ πανηγ. οἱ ἀγ. Σιὼν EE πανηγυρίσατε πάντες οἱ ἀγ. σιών Bf [2] εὐλογεῖτε τὰ Bf πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον EE)

Mf Bf trop. odis η′ hoc ordine tradunt: 2, 1, 3, 5 179 ἱεραρχίαις G 180 δόξῃ Mf Bf 181 καὶ τῷ θρ. τοῦ δ. παρ. Bf 183 πάντα τά Mf κυρίου om. Pp

---

170-171 Num. 17,8

Παρίστασαι
185 τῷ παμβασιλεῖ σὺν Πέτρῳ, πάνσοφε,
τῷ ὁμοτρόπῳ σου
καὶ ὁμογνώμονι καὶ ὁμοθρόνῳ
καὶ συνιερομάρτυρι, ἄμφω,
Ἐκκλησίας Ἀλεξανδρέων ὡς πρόεδροι,
190 τὰς πρεσβείας
ὑπὲρ τῆς οἰκουμένης προσάγοντες.

Ῥυθμίζονται
πᾶσαι τῶν πιστῶν χορεῖαι, ἔνδοξε,
τοῖς σοῖς διδάγμασιν·
195 ἐν δύο φύσεσι καὶ γὰρ τὸν ἕνα
υἱὸν σεσαρκωμένον μαθόντες
ὀρθοδόξως θεολογοῦντες συμψάλλομεν,
Προτέριε·
« εὐλογεῖτε, τὰ ἔργα κυρίου, τὸν κύριον »

200 Ὁ νεῶν σε
τὰ ἐκ τῆς Ἐδὲμ κομίζων ὕδατα
ποτίσας, ἔνδοξε,
ἐκεῖ παρέπεμψε τελειωθέντα
πρὸς τὴν αὐτοῦ πηγήν τε καὶ ἀρχήν,
205 Προτέριε· ἔνθα τοῦ ξύλου τοῦ τῆς γνώσεως
ἀπολαύεις,
τῆς τρυφῆς τε ὅθεν πάλαι Ἀδὰμ ἐκβέβληται.

θεοτ. Τὴν Τριάδα
ἄκτιστον οὐσίαν ὁμοούσιον
210 ἐθεολόγησας,
τὸν τῆς Τριάδος δὲ σεσαρκωμένον

---

184 παρίστασο Mf   παρίστασθε Bf   185 βασιλεῖ Bf   188-189 καὶ... Ἀλεξανδρέων deest in Pp   189 ὡς] οἱ Bf G   191 προσάγοντες] αὐτῷ ἀναπέμποντες Mf Bf   193 ἔνδοξοι G   196 μαθόντες] εἰδότες Mf Bf   198 v. om. Bf   199 v. varie contrahunt cdd.   200-207 trop. om. Mf Bf G   208-215 trop. deest in G   208-210 Τριάδα τὴν ἄκτιστον σοφέ / οὐσίαν ἔνδοξε ὁμολόγησας / καὶ ὁμοούσιον Bf   209-210 ἄκτ. οὐσ. ὡμολόγησας / καὶ ὁμοούσιον Mf   211 δὲ om. Bf

---

205-207, Gen. 3,1-24

ἕνα ἐκ τῆς ἁγνῆς θεοτόκου
f. 145 ἐν οὐσίαις ‖ δύο λαμπρῶς ἀνεκήρυξας,
ᾧ πρέσβευε
215 σὺν αὐτῇ τοῦ σωθῆναι τοὺς δούλους σου.

ᾠδὴ θ'. *Εὔα μὲν τῷ τῆς παρακοῆς*

Ἐσφράγισται αἵματι τῷ σῷ,
Προτέριε,
ὀρθοδόξων τὰ συστήματα,
ἔστη αἱρέσεων τὸ θράσος,
220 ἐσβέσθη τῶν εἰδώλων προσκύνησις,
ἐπαύθη ἱερέων ἀναίρεσις,
πλάνη δαιμόνων ἐξηφάνισται.

Ῥομφαίας καὶ τόξα τῶν ἐχθρῶν
ἀπόστρεψον
225 κινουμένων, παμμακάριστε,
κατὰ τῶν σὲ ἀνευφημούντων
καὶ λέπτυνον αὐτῶν τὴν ὀφρύωσιν
καὶ πᾶσαν τὴν ἰσχὺν αὐτῶν σύντριψον
νίκας βραβεύων τοῖς ἱκέταις σου.

230 Ἵλεων γενέσθαι τὸν κριτὴν
τοῖς δούλοις σου,
ἱεράρχα, ἐκδυσώπησον,
παῦσον πολέμων τοὺς θορύβους,
ἐνίσχυσον πιστῶν τοὺς βραχίονας
235 καὶ νίκας τῷ λαῷ σου χορήγησον,
τοῖς βασιλεῦσι συμπολέμησον.

---

215 τοὺς δούλους σου] ἡμᾶς τοὺς ὑμνοῦντας σε Mf Bf

heirm. θ' EE 98, n. 139, Joannis et Stephani; heirm. integrum refert Bf, qui autem in nonnullis differt verbis. In G diversum heirm. et trop. invenimus, quae ad canonem paracleticum toni δ' pertinent PaR 311; cf. commentario.

trop. odis θ' hoc ordine tradit Mf: 2, 1, 3, 5; Bf autem: 2, 1, 4, 3, 5   220 εἰδώλων bis scriptum in Bf   221 ἐπαύθη τῶν ἀνιέρων ἀνάρρυσις Bf   222 ἐξηφάνισται] ἀπελήλαται Bf   223 Ῥομφαίαν Bf   225 κοινουμένας Bf   228 τὴν om. Bf   235 τῷ λαῷ σου] τοῖς χριστονύμοις Bf   236 τοῖς] καὶ Bf

Ὁ Μάρκου σε θρόνος ἐσχηκώς,
οὐκ ἔλαττον
ἐκοσμήθη σοῖς διδάγμασιν·
240 τὰ γὰρ ἐκείνου σὺ κρατύνας
ἐπέδωκας ὀρθόδοξα δόγματα
ἁπάσαις ἐκκλησίαις, Προτέριε·
ὅθεν σὺν τούτῳ σε γεραίρομεν.

θεοτ. Ναόν σε Θεοῦ καὶ κιβωτὸν
245 καὶ τράπεζαν
καὶ λυχνίαν, ῥάβδον, στάμνον τε,
πλάκας καὶ ὄρος οἱ προφῆται
ὠνόμαζον, παρθένε θεόνυμφε,
ἡμεῖς δὲ θεοτόκον κηρύττομεν
250 τῷ Προτερίῳ συνεπόμενοι.

237-243 trop. om. Mf 239 ἐκοσμήθη τοῖς σοῖς δόγμασι Bf 241 παρέδωκας Bf 242 ἀπ. ταῖς ἐκκλ. πρ. Bf 244 τοῦ post σε add. Mf 246 καὶ λυχν. στάμνον ῥάβδον ται Bf 247 πλάκα ex correct. Pp πλάκαν Bf 248 θεόνυμφε] πανύμνητε Bf

IN SANCTUM GELASIUM CONFESSOREM

